Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0001-7




1. Oth: Brunfelsij pandectæ
vet: et nov: testamenti
Argentorati, 1527
2. Matth: Gothi synopsis
theologiæ Christianæ
francof: 1574
3. Joh: Vollandi compendium
Doctrinæ Christianæ
Lipsiæ, 1581
4. Leonh. Hüttera compen-
dium locorum theolo-
gicorum.
Wittenbergæ, 1628

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0002-3

# ΚΑΤΗΧΗΤΙΚΑ,

# ΣΥΝ ΑΝΤΙΘΕ-
# ΣΕΙ ΤΩΝ ΕΝΑΝ-
# ΤΙΟΥΜΕΝΩΝ.

## PIETATIS PVERILIS, ET DOCTRINAE CATECHETICAE EXPOSITIO,

*cum Antithesi contrariæ, commemoratione videlicet, ac descriptione Idolomanias Pontificiæ vniuersæ, singulis Catecheticæ doctrinæ capitibus oppositæ, conscripta & exposita Græco Heroico, à Matthæo Gotho Elrichensi.*

15  74.



FRANCOFVRTI,
*Ex Officina Typographica Nicolai Bassæi.*

# CLARISSI-MIS ATQVE AMPLISSIMIS VIRIS, NON MINVS ERVDITIONE,

*quàm virtute & prudentia præstantibus, D. Consulibus ac Senatorib. Reipub. Vuernigerodensis, Dominis & Patronis suis longè colendissimis,*

*S. D. P.*

IAM Sol quingentos & mille peregerat annos,
Et decies iterum rubicundi cõcaua Cancri
Brachia transierat calido vicina Leoni,
Ac septẽ addiderat reuolutis mẽsibus orbes,
Regis ab exortu, quem dia virago sub auras
Protulit ęthereas, flãmę Cythereidos expers:
Cùm confusa dolis & densa fraude Papatus
Relligio, multos æui neglecta per annos,
Conciderat, cùm sana Fides protrita iaceret
Sub pedibus, meritis & cùm defixa tenerent
Pectora mortales proprijs, merita ardua Christi
Non satis esse rati, nobis conferre salutis
Munera perpetuæ. fœdè quia tota latebat

Obruta Cimmerijs Verbi doctrina tenebris,
Et vano Cleri resonabant templa boatu.
Scilicet exutæ veris cultoribus aræ
Stabant, & frustrà lustrati pollinis orbes
Obtulit auxilio viuis & lumine cassis
Sacrificus, dum ritè litans altaribus ore
Numina tercētum memorat votisq; fatigat.
Omnia namq; Cacus versa vice sacra peregit
Ausonius, fecitq; poli terræq; potentem
Semet, & inuentis animos turbauit iniquis.

At postquā superûm deferbuit ira, labores
Humanos cœlo Pater est miseratus ab alto,
Nec rabiem vlterius Romani passus Asylæ
Sæuire & torpere graui pia sacra veterno,
Postremum Heliam fatis poscentibus Orbi
Te Luthere dedit, qui sacra nefanda refutās,
Quiq; tot ingenuas artes linguasq; repurgās
Ab radice nigri cuperes conuellere Ditis
Limina: & insidias Erebi, iam fraude retecta,
Arguere, & cœlo monstrare immane barathrum.
Ergo viuida vis Sacri spiraminis imo
Pectore magnanimū stimulās heroa subegit.
Vt solida assereret laudū præconia Christo,
Primus & auderet manifesto numine Papam
Tentare, & stygias conuulso cardine sedes
Rumpere, & æthereas inuicta mente tueri
Le-

Legesq; egregiasq; artes, pietatis alumnas.
Hic vir hic est, vnus qui nobis restituit rem,
Qui nobis dubiam mentē incertamq; salutis
Lumine lustrauit certo, scriptumq; reliquit,
Iustitiam quòd Sola, Fides, Patrisq; fauorem
Conciliet, fuso Christi confisa cruori.
Hic quoq; in integrum sacræ conuiuia cœnæ
Omine restituit magno & pręstantibus ausis.
Hoc duce cōtemtis redijt reuerētia Sceptris,
Debitus atque Deo cultus surrexit & aris.
Hoc autore DEI discit sincera iuuentus
Scripta Catechéseos, quorum cōpendia filo
Lucida Thesæo pueris monstrauit, vt isthîc
Ire redire vias nullo discrimine poßint,
Et facilè implicitos animos erroribus altis
Expediant, Latiumq; nefas & cæca resoluant
Texta doli, ne qua variarum ambage viarum
Semi hominis monstri captos voret ore trisulco
Cerberus, & rapido fremebūda sub ilia rictu
Deglutiat, stygiaq; ferox sub nocte recōdat.

Tanta Catechesis confert bona parua LVTHERI:
Corpore parua quidem, sed sensu viuida virtus:
Est opus exiguum, sed quo nō certius vllum,
Sensa probare Dei, fictosq; reuellere cultus.

Instar habet Lydij lapidis, qui praua metalli
Arguit affrictu frusta & genuina præhendit.
Quicquid enim quondam execrabilis Italiæ
Sphinx
Diuinos contra iussus documentaq; Christi
Confinxit, vano indulgens pietatis honori:
Quicquid & in toto malè gestum est corpore
mundi,
Reijcit, & veræ mõstrat monumenta Salutis.

Sunt igitur magnifaciēda & pectore grato
Munera tāta Dei sunt amplectēda, nec vnquā
Tanta bona eripiat nobis moderator Auerni
Mentibus optemus totis, ne rursus ademto
Lumine, præcipites animos à tramite verbi
Lubricus error agat, dēsa sub sorde Papatus.
Præcipuè à primis annis studiosa iuuentus
Horreat Ausonij maledictum nomen Asylæ,
Et mox à teneris Latij commenta Baalis
Odisse incipiat, Christiq; in sanguine solo
Ponere spem totam discat, credatq; perennē
Sanguine ab vnius Christi pendére Salutem.

Ergo Catechismi Graio contexere versu
Sancta rudimenta, & mētita opponere Papæ
Dogmata me iussit, docti pia cura Neandri,
Cuius & instinctu quōdā mea Musa sub auras
Aedidit argiuo contextam carmine Christi
Historiam

Historiam, quæ facta simul vitasq; necesq;
Bissex sacrorum Procerũ sociûmq; sequentũ
Ordine cõmemorat distĩcto & simplice venę.
Concessis equidem pro virib. impiger istud
Perfeci diuûm auxilio, lætorq; laborum,
Quòd liber hic Christi celebret non falsus honores,
Et formare queat doctæ pia corda iuuentæ,
Graio fonte lauans Germanæ pectora pubis,
Cuius erũt studijs nõ absona Carminis huius
Exigua quamuis ducta argumenta Camœna.

Ecce aũt dubio dũ singula pectore voluo,
Quísnam præsidibus tutò liber ille sub auras
Prodeat, & vulgi insultus atrosq; Theonis
Effugiat dentes, dubitanti vellicat aurem
Phœbus, & ô inquit, quæ te tàm sera moratur
Segnities? vidén' vt claro se nomine pasſim
Florida doctorum iactet prudentia Patrum:
Nẽpè quib. curæ est Respub. quiq; gubernãt
Vvernigeroda tuos fausto moderãine fasces,
Igneus est illis amor in pietatis alumnos,
Atq; nouenarum venerantur sacra Sororum
Egregiè, ingenij ditati dotibus ipsi,
Atq; animum exculti fœliciter artib. omnes.
Hos tibi patronos tutandi carminis vltrò
Elige, non vnquam sub defensoribus istis,
Zoilus in nostras acuet sua tela Camœnas.

Sic ait, atq; Chelyn pulſans Helicona reuiſit.

Quare agite, ô Patres, ſtudijs Muſisq; fa-
uete
Et præſtò eſte meis: Veſtro tutamine fretæ
Spicula nõ metuent Momi, nec inania vulgi
Murmura. Liuor iners pręcluſa fauce tacebit
Luridaque in ſeſe vertens ſua lumina abibit.
Quod ſupereſt Pylij ſenis exuperate senectã
Viuendo, & placida compoſti pace beatè
Viuite: fœlici traducite tempore vitam.

*Prudent. veſtræ*

*Deditiſſimus,*

*Matthæus Gothus.*

# ΚΑΤΗΧΗ ΤΙΚΑ, ΣΥΝ ΑΝΤΘΕ- ΣΕΙ ΤΩΝ ΕΝΑΝ- ΤΙΟΥΜΕΝΩΝ.

ΜΟΛΠΗΣ ἀρχόμενος πραπίδων πρῶτον
ἔνθεν ἀείρω
πρὸς θεὸν ἀστροδίκιτον ὅλου νωμήτορα
κόσμου,
τρισσοπρόσωπον ἔχοντα μίαν φύσιν εἰν
ἑνὶ θεσμῷ:
ἱκεσίῃ δὲ καὶ αὐτὸν ἐγὼ γουνάζομαι εὐχῇ,
ὄφρα μοὶ ἰθύνῃ κραδίην καὶ ἐπ' ἰσχὺν ὀφέλλῃ,
αὐτῷ ἀρεστὰ γράφειν καὶ ὀφέλσιμα παισὶν ἀείδειν,
οὐδὲ λιταζομένῳ γὰρ ἐμοὶ τοπάροιθεν ἀπέστη
θεῖα χαραξαμένῳ καὶ ἐναίσιμα μηχανόωντι.
τῷ ῥα δαημοσύνην τε φρόνιντε μοὶ εὐθυπότητον
καὶ θεῖος ἰσραοιδὸν ἐπεὶ θεὸς ἐγγυαλίξει,
παῖδες εὐχνοάοντες ἐμῆς ἐπικέκλυτε φωνῆς,
ἔστε φίλοι, σεμνῷ δὲ καὶ ἴθμον δέξατε θυμῷ,
ὅσσ' ὑμῖν χρέος ἐστὶ μαθεῖν καὶ πᾶσι βροτοῖσιν,
ὄλβιον ἐλδομένοις αἰώνιον εἰσαφικάνειν.

Imploratio nominis diuini.

Apostrophe ad iuuentutem, vt doctrinam Catecheticam discant.

κέκλυτε, πουκαλίμης τε νοήσατε πάντα μενοιναῖς,
οἷα διδάγματ᾽ ὄρωρε κατηχήσεως ἐρατεινῆς,
τῆς δ᾽ αὐτῆς ἡμέας τί μορίσμαθ᾽ ἕκαστα διδάσκει.
ῥήμασι γὰρ παυδνοῖσι κατηχισμοῖο δίδαξιν
ἐκθήσω φανερωπὸν ὑπ᾽ ὀφθαλμοῖσιν ἰδέσθαι,
ἣν οὐδεὶς μερόπων ἐξίδμεναι ἔσθενεν ἀνδρῶν
καί περ ἐπιστήμῃ λαμπρῇ μέγ᾽ ὑπείροχος ἄλλων.

Commendatio Catechismi summa.

παῦρα μὲν ἐστὶν ἔπη καὶ ὀλίζονα, θεσπέσιος δ᾽ ἴς
παυρολόγοις ἐπέεσιν ἐνείλεται ὑψιμέδοντος.
ἐξ ἄρα δικχρίοισι βίβλον πριάμεσθα τοσαύτην.
ἧς τινος οὐκ ἔμπης διδόναι μεγαλοκτεάνων ἐξ
κόσμων μυριάδες ἀντάξιον ὦνον ἔχουσιν.

Breuis summa singulorũ capitum Catechismi. I. Legis.

παμμεδέων δ᾽ ἐτύπωσεν ἐφημοσυνῶν δέκα μύθους.
ὄφρα κάτοπτρον ἔωσι βροτοῖς καὶ ἔλεγχος ἀλιτροῖς.
ἡ γὰρ ἑῆς ξύμπαντας ὑπεκλήϊσσεν ἐφετμαῖς,
πληγαῖς ἀλγεινῇσι κακόφρονα σάρκα δαμάζων,
ἠδὲ κατακρίνων ὑποφήτορας ἀμπλακιάων.
ὅττι χολοφλεγέεσσιν ὑπὸ στήθεσσιν ἀνάκτως
ἀντιβίην μερόπων δέχεται βαρυμήνιον ὀργήν.
οἵ τινες αὐτοπόνοις ἐπιθαρσῶνοι ἐργασίῃσιν
ἄφθιτον εὐπραγίῃ βίον ἐλπίζουσι κιχῆσαι.

II. Symboli Apostolici, siue Fidei.

ὀμφὴ πιστοσύνης δὲ θεόφρονος ἄμμε διδάσκει,
χριστὸς ὅτ᾽ ἀνθρώπων μέσος ἵσταται ἀλινομόχθων,
συνάζων μηνιθμὸν ἐριβρεμέταο τοκῆος,
καὶ κακὸν ἀντιθέοιο μένος παππᾶο δαΐζων.
τοῦ δ᾽ ἄρα λυσιμέριμνον ἐπὶ σταυροῖο θανόντος
λύθρον ἄφαρ πρὸς ὄλυμπον ἀπὸ χθονὸς ἄνδρας ἀείρει,
χριστὸν ἐς ὑψιγενέθλον ἀναμπέα πίστιν ἔχοντας,

οὐδὲ δυηπαθέεσσι δικαιοσύνη πέλεν ἄλλη
ἀνδράσιν, ἢ πειθοῦς θεολαμπέος ἄμβροτος αἴγλη.

ἀλλ' εὐχὴν πέμποντες ἐς ὑψιπόρων ἴτυν ἄστρων, III. Orationis Dominicæ.
ἣν θεόπαις προὔθηκε φιλοστόργοισι μαθηταῖς,
χευάμενοι στήθεσσιν ὁμόφρονα θυάδα φωνήν,
πνοιῆς οὐρανίης ἐπιτάρροθον ἱρὸν ἄλκαρ
ὑψόθεν αἰτέομεν πεφορημένον ὀξέϊ παλμῷ
ἔμπεδον εἰς βιότοιο τέλος βροτὰ φῦλα νομεύειν,
ὄφρα θεοῦ προπάροιθεν ἀμεμφέα κύκλα προσώπου
γηθόσυνοι φορέοιμεν ὑπὸ φρεσὶ θάρσος ἔχοντες
πίστιος ὀμβριμόθυμον, ἐπὶ χθονὶ δ' ἐκτελέοιμεν
ἔργα φιλοφροσύνης τετληότι σώφρονι θυμῷ.
δυστυχίης προρόωντες ἀναγκαίοιο θυέλλας
οὐδ' ἐπίχαρμα κακοῖσι γενοίμεθα νυκτοτυράννοις,
ὅρμον ἐπὶ τριπόθητον ἀγέα νῆα τιθέντες.

βαπτισμοῦ δὲ χύσις λοεσίμβροτος, ἐστὶ θύρετρον IIII. Baptismi.
πεπταμένων ἐληηδὸν ἐπουρανίων κενεώνων,
ἔνθα παλιγγενέων μερόπων δέμας ἡδυλοέθρου
ῥείθρου πνευματόεντος ἐνηέϊ λούεται ὄμβρῳ,
οὗ χάριν αὐτομέδων τε πατὴρ καὶ κύδιμος υἱὸς
ξυνὸς τ' ἀμφοτέροισι θεόσσυτος ἁγνὸς ἀήτης
εἷς θεὸς ἐν τρισσοῖσι φαεινομένοισι προσώποις
ἡμείων ἄπο τῆλε μιάσματα πάντα τινάσσει,
ὥσκεν ἀκούωμεν καθαροῦ κλυτὰ τέκνα τοκῆος.

κλειδοῦχον δύναμιν δὲ θεήτοκος υἱὸς ἐχέφρων V. Clauium siue Absolutionis.
αὐτὸς ἐφημερίοισιν ἐπέτραπεν, ὄφρα κακούργου
δυσνομίης ἄφεσιν κείνων δώροισι κιχῶμεν,
πειθοῦς πυργωθέντες ἐπ' ἀρραγέεσσι θεμέθλοις.

τῇδε παραίφασιν ὀβριθαρσέες, οὕνεκεν ἡμεῖς
κληρονόμοι τελέθωμεν ἀειθαλέος βασιλείης.
πνιξιμόρου χριστοῖο πολυστονάχους διʼ ἀέθλους,
ἀμέας ὃς θανάτοιο κατηφέος ἐξεσάωσε.
τῷ δ᾽ ἄρα πασιμέλημνος ἐφέσπεται οὔλιος αἶσα,
εἰς ὅσον εὐρυγένειος ἀέξεται ἔμπεδος αἰών,
ὅντινα κλεῖς ἀνόητον ἁμαρτοδέτειρα διώκει.

VI. Cœnæ Dominicæ.

Χριστὸς δ᾽ εἰλαπίνῃ μελιγηθέϊ ψυχοβοτείρῃ
σφὸν δέμας ἠδὲ καὶ αἷμα ῥοδόχροον ἐγγυαλίζει,
ἄρτῳ καὶ τ᾽ οἴνῳ θεοηδέα δαῖτα κορύσσων,
οὐ ῥὰ τύπον δείκνυσιν ἐτώσιον ἢ σκιόεντα,
αὐτότατον δὲ δέμας καὶ γνήσιον αἷμα πάρεστι,
σεμνολόγοις τ᾽ ἐπέεσσι φερέσβιον ἔργον ὀπηδεῖ.
ταῦτα δὲ πάντα πέλει κρυφίῃ τετελεσμένα βουλῇ
εἰς ῥύσιν ἀνδρομέοιο ταχυφθιμένοιο γενέθλης,
εἰ καὶ μὴ νοέει λογικὸς τρόπος ἔργα θεοῖο
αἰσχύνης βελέεσσι πεπαρμένος ἔνδοθεν ἦτορ,
ἔμπης παμβασιλῆϊ μένοι κλέος ἔμμενες αἰεί.

Hactenus dictorum breuis repetitio, verbis nõ nihil mutatis.

ἄρθρα κατηχισμοῦ βραχέως καὶ τῇ τε μαθηταῖς
παιδευταὶ θαλεροῖσι δυνήσονται φανερῶσαι.
ἦρα κατήχησις κορυφή. πέλε φοιβάδος ὀμφῆς.
ἀτραπὸν ἥ τις ἔδειξεν, ὅσῃ ποτὶ θῶκον ὀλύμπου
πρὸς τε θεὸν σπεύσωμεν ἀμεμφέες, ἐν χθονὶ δ᾽ ὄντες
ἄσπιλον ἦθος ἔχωμεν ὅπως νεοθηλέος αὐλῆς
ἐνναέται γεγαῶτες ὁμοίιοι αὐτοάνακτι,
ζωὴν ὑψιδίαιτον ὁμέστιον ἀγγελιώταις
ἐν χριστῷ διάγωμεν ἀτέρμονι φοιτάδι νύσσῃ.

Sũmaria Catechiſmi doctrina.

I. pars Ca

χρὴ δ᾽ ἄρα προφρονέως κραίνειν δεκάφωνον ἐφετμὴν

πά-

πάσης ἐν κραδίης, μυχάτης δέ τε κάρτεϊ ψυχῆς.
καὶ γὰρ ἐφετμοσύνας στερεῇ πατέοντες ἐρωῇ,
οὔ ποτ᾽ ἐσαθρήσουσι θεοῦ πανθελγέος αἴγλην.
οὐ πάρχει γὰρ ἄναξ σφέτερον νόμον ἐξαθερίζειν.
τοὔνεκα πάντα βροτοῖς τελέειν νόμον ἐστὶν ἀνάγκη,
ἢ πανόλεθρον ἐς ἄλγος ὑπὸ φλόγα ταρταρόεσσαν
πίπτειν, καὶ τριάδος φλεγεθοντίδα τετλάμεν ὀργὴν
ἀΐδιος αὐξοδυνοῖσιν ἱμασσομένους βελέεσσιν.
λοβοφνεῖς δ᾽ ἅμα πάντες, ὅσους βροτέη τέκε γαστὴρ,
πρωτογόνου γενετῆρος ἀπόσπορον αἷμα φέροντες,
ἀΐδιος ἑρπυστῆρος ἐλυλῶθημεν ἱμάσθλῃ.
οὐ σθένος οὐ χραίσμημα καὶ οὐ φρόνις αἰολόμητις
οὐδ᾽ ἀλθοσύς τις ἐποῖδε λυσάμμορον ἕλκος ἀλάλκειν.
μούνη σωσιάνειρα παραίφασιν εὕρατο πίστις,
χερσὶ θεοσθενέεσσιν ὀδὰξ τόδε μῆχαρ ἑλοῦσα,
παντοκράτωρ ὅτι παιδὸς ἑοῦ χάριν οἶτον ἄλαστον
σταυροῦ τετραπόροισιν ἐπὶ πλευρῇσι θανόντος
φόρτον ἐλαφρίζεσκε νόμου, καὶ ἁμαρτάδος ἄχθος
ληθαίης ἔρριψε πολυστροφάλιγξιν ἀέλλαις.
οὗτος πάμφθορον αὖθις ἀνεζώγρησε γενέθλην,
καὶ ζωὴν ἀνέγειρε παλίμπορον ἰσχύϊ πνοιῆς
αἰθερίης, τὴν δ᾽ αὐτὸς ἐπιχθονίοισι πορίζει
προῖκα διδοὺς, ἰδίης ἀρετῆς δίχα, νόσφιν ἀέθλων
σεμνοπόνων, μούνη δε φερέσβιος ὄμπνια πίστις
ἀρχηγὸς πέλεν οὗτος, ὁ τὸν θεὸν ἀμφιμεμαρπὼς,
ἄμμε δ᾽ ἀερτάζων κρατὺς εἰς πόλον ἔκτοθι κόσμου
κουφίζει καὶ ἄνακτος ἐπὶ θρόνον ἀρχὶς ἀείρει.
τὴν ἢ χέει λιγύφωνον ἀπ᾽ αἰθερεῶνος ἰωὴν

techismi, lex, requirens perfectam obedientiam, & damnās omnes homines.

II. pars Fides, quæ sola saluat & eripit lege damnatos.

ἢ ῥάνυ παμβασιλῆος ἐγὼ πεατίζομαι εὖχος,
καὶ πάλιν αὐτὸς ἐμοῖο φιλεῖ πέχρ, οὐκ ἂν ἐλέγξοι
μύθους ἡμετέρους ταχινόπτερος ἀγγελιώτης,
εἷς θεὸς ἐν διοσοῖσι νοήμασιν αὐτόθι ναίει
εἰσὶ δύ ἀλλήλοισιν ὁμόζυγες ἐν ἑνὶ θεσμῷ.

III. Pars, Oratio dominica & breuis summa eiusdem.

ἀλλὰ πατρόκλητον μὲν ἐρευγόμενοι λιτανείην.
πρηνέες ἱκεσίῃσι θεὸν κικλήσκομεν εὐχαῖς,
νωλεμὲς ὄφρα μένωμεν ἀπείρονος ἔνδοθεν ἀρχῆς,
ἀσσάμενοι γλάγος ἠδὲ θεορρήτων διδαχάων,
καὶ δὴ παγγενέτην ἱκετεύομεν, ὄφρα κε πᾶσαν
ψευδολαλέην ὀλέσειε νοοβλαβέων στίχα μύθων,
δαψιλέῃ τ᾽ ὀπάσειε τροφήματα χειρί, καὶ ὅσσων
χρήζει βίος οὗτος. ἀλεξικάκῳ δ᾽ ἔθεν ἀλκῇ
ἡμέας ἐξερύσειε κακόφρονος ἐκτὸς ὀλέθρου,
ἠδὲ μεταστήσειεν ἐς οὐρανὸν ἐντόθι γαίης.

IIII. pars, Baptismus.

νιψικάκων ὑδάτων ἢ θεόρρυτος ἵκμιος ὄμβρος,
ὄρρα νεηγενέων μερόπων ἀσάμινθος ἐτύχθη,
πᾶσιν ἐπιξύνουσα λυγρῆς ἐπίληθον ἀνίης,
στήθεος ἐκ θείοιο βλύει χριστοῖό τε πλευρῆς
ἀέναον κελάρυσμα χαρίπλεον. ἔστι δ᾽ ἀπορρὼξ
πνεύματος ὑψιρόοιο χυτῇ κεκερασμένος ἕρσῃ,
τῆλε δ᾽ ἐπιπλήμμυρεν ὑπὲρ νόον δυμενέωντε
δυσμενέωντε σάλον στυγομόρμυρον οἴδματ᾽ ἐραννῷ
ἰθὺς ἐπικατέρχων ποτὶ θέσκελα τέκνα θεοῖο.
ταῦτα νυ πειθομένοισι θεόσδοτα δῶρα νέμονται.

V. pars, Absolutio.

κληδοφόρος δ᾽ ἀφέτειρα κακῶν λύσις εὔφρονι βουλῇ
ἔμπαλιν ἄμμε τίθησι θεουδέος εἰς πτύχα κόλπου,
πίστιν ἀναμφήριστον ὑπὸ στήθεσι φέροντας,

καὶ

καὶ σέλας ἠελίοιο φαάντερον ἀμφὶς ἰόντας.
παῖδες ἐμοὶ πείθεσθε, θαλύσια πιστὰ δὲ Χριστῷ
ἀείσατε τιμάων, οὐ δείδετε, πάντα γὰρ ὀργῆς
ἔσβεσε πυρσὸν ἄναξ βαρυαχθέος, οὐκέτι δ' ἡμῖν
νηλεὲς ἦτορ ἔχει, καὶ ἀμειδέα θυμὸν ἔπαυσε
γυθοσύνης χαριτός τε θοοὺς κρητῆρας ἀνάπλων.
δαιτὶ δὲ μυστιπόλῳ Χριστοῦ δέμας ἠδὲ καὶ αἷμα
κρήγυον ἀτρεκέως δίδοται πάντεσσι βροτοῖσι — VI. pars, Cœna Domini.
πιστεῖ καὶ στομάτεσσι βιόσσοον εἶδαρ ἐρέπτειν,
χείλεσι διψαλέοις τε ποτὸν ζείδωρον ἀφύσσειν.
Χριστὸς γὰρ πέλε λύτρον ἐτήτυμον ἡμετεράων
ἀντὶ βαρυτλήτων τε μεριμνοτόκων τε κεδάων,
οὗτος νουσαλέοντι βοηθόος ἤλυθε κόσμῳ,
ἀνδρομέης ἄμπαυμα μεληδόνος αὐτὸς ὑπάρχων
οὕνεκεν οὗ γενετῆρος ἀπηνέα κοίμισεν ὀργὴν,
καὶ χόλον ἐπρήϋνε φερέστονον, ἄμμι δὲ πίστιν
καὶ σταθερὴν μετὰ πατρὸς ἑοῦ παρέδωκε γαλήνην
τοῦτό νυ πιστεύοντες ὅλῃς φρεσὶ παῖδες ἄριστοι
σπεύδετ' ἐμοῖς χείλεσσιν ὁμόθροον αἶνον ἀείδειν — Apostrophe ad pueros, vt Deo agāt gratias ꝑ doctrina Catechetica.
παντοτόκῳ γενετῆρι καὶ υἱέϊ μουνογενέθλῳ,
πνεύματί τ' ἀμφοτέροισι συναστράπτοντι, φερίστης
τερπωλῆς γλυκὺν ὕμνον ἀράσσετε μυστίδι χορδῇ
ταύτης καὶ σμικρῆς περ ἀγάφρονος εἵνεκα βίβλου,
ἥτις ἔφυ κραδίη, κορυφὴ καὶ μυελὸς ὀμφῆς
θεολόγου, δέλτων τε σελὶς προφερέστερος ἄλλων,
ταῦτά νυ συλλήβδην κεχαραγμένα λευκάδι φωνῇ

πάντα

Capita illa Catechismi hactenus commemorata, sunt summa vniuersæ Scripturæ, cùm nihil sit in Scriptura, quod non ad capita illa possit referri.

πάντα κατηχισμὸν καὶ τμήματα τοῦ δὲ λιγαίνει
πάντα, τάτ' ἐστὶ σύνοψις ὅλης θεομύστορος ὀμφῆς
ᾗ τε προσαρμόζοιμεν ὅλων κλυτὰ θέσφατα βίβλων·
οὐδὲ γὰρ οὐ μέρος ἐστὶ νοοστρεφέων διδαχάων.
ὅ,ττι κατηχισμοῖο φύγοι σταθμοσσόον ἀκμήν,
τῆς νῦν γυμνὰ μέρη καὶ ἔπη στοιχηδὸν ἐνίψω,
πρῶτα θεοῖο λόγον σαφέως δεκάθεσμον ὑφαίνων.
οὗ τινος ἦρα φέρειν προστάγμασιν ἐστὶν ἀνάγκη
ἀνέρας ἀχνυμένους περ ὀλοσθενέεσσι μενοιναῖς.
ἠὲ δόμον κρυόεντα λύειν ἀχεροντίδος αὐλῆς,
καὶ φλογὸς οὐ μινύθουσαν ἔχειν δαμέθυμον ἀϋτμήν.

Sequuntur nunc nuda capita Catechismi.

Decalogus.

Μωσῇ θεσμοφόρῳ δ' ἐντάλματα τοῖα χάραξε
βρονταῖον βαρύδουπον ἄναξ λιγυρὸν ἦχον ἀράσσων
οὔρεος ἠνεμόεντος ἐπ' ἠλιβάτοιο κολώνης·
τοῖα μὲν ἐν διδύμοισι λίθου πινάκεσσι τυπώθη:
ἀρχὸς ἐγὼ σέθεν εἰμὶ λόγῳ ξύμπαντα νομεύων.
ἄψ ἀνασειράζων σὲ δυσαλθέος ἐκτὸς ἀρούρης
αἰγυπτίης, ὅθι πικρὰ καὶ ἄτροπα πολλὰ πέπονθας.
ἄλλον νόσφιν ἐμεῖο θεὸν πεφύλαξο σεβάζειν.
πρήγμασιν οὐ μίξῃς ἐμὸν οὔνομα φαυλομερίμνοις.
ἁγνίζειν μέμνησο θεόφρονος ἦμαρ ἑορτῆς,
καὶ τε τεῶν σὺ γέραιρε φίλῃ φρενὶ νοῦμα τοκήων.
ὄφρα κεν εὐπαθέων μακρόζοος ἐν χθονὶ μίμνῃς.
μηδὲ φόνῳ βροτόεντι τεὴν ποτε χεῖρα μιαίνῃς.
μηδὲ πόθος δαμάσῃσε μολεῖν ἐπὶ φώριον εὐνήν.
οὐδέ κεν ἀσκήσῃς κλοπίην θανάτοιο δότειραν.
φείδεο δ' ἀμπετάσαι ψευδόστομον ἀνθερεῶνα·
καί που ἐπιθυμίης ἀλλότριον ἦχον ἰάλλειν

μάρτυ

μαρτυρίην ἐνέπων ὁμοφυέος ἀντίον ἀνδρός.
οὐδ' ἄρα νυμφιδίην κείνου φιλόλεκτρον ἄκοιτιν
εἰς πόθον ἑλκύσειας ἀνάρσιον ἠπεροπεύων.
οὐ παῖς οὐ θεράπαινα καὶ οὐχὶ γαλαξιτόκος βοῦς
οὐ ταλαεργὸς ὄνος τοῦ πλησίον, ὅσσα τ' ἐν οἴκῳ
κτήματα ποικίλ' ἔεργε, τεῒν κατὰ θυμὸν ἀρέσκοι.
ὄφρα δ' ἢ πιστεύητε νόου πειθήμονι θεσμῷ,
οὐ παίζειν βασιλῆα δικασπόλον, ἀλλὰ μάλιστα
ἔργον ἔχειν σπουδαῖον, ἐφηβητῆρες ἄριστοι,
τοὔνεκα δακρυόεσσαν ἀλιτροβίοισιν ἀπειλὴν,
τοῖς δ' ἀγαθοῖσιν ἀνῆψεν ὑπόσχεσιν ὀλβοδότειραν.
τοίην γὰρ τὸ τέλος βαρυμηνέα ῥήξατο φωνήν:
μοῦνος ἐγὼ σέθεν εἰμὶ θεὸς, παλάμῃσι κράτιστος,
κοίρανος ὤν, καὶ ἄγαν ζηλήμονα θυμὸν ἀέξων
τίειν μισοθέων ἀδικήματα λυγρὰ τοκήων
εἰς τριτάτην γενεὴν πανομείλιχος ἠδὲ τετάρτην,
ἀλλ' ἐλεοπλούτου φιλίης προσπτύσσομαι ἀρθμῷ
φύλτης εἰς χιλιοστὸν ἔύσπορον ὄγμον ἐκείνους,
ὅσσοι ἐμοὶ γλυκὺ φίλτρον ὑπὸ φρεσὶν ἐντυκέουσιν
ἀσφαλέως ποθέοντες ἐμοῦ κλυτὰ θεσμὰ φυλάττειν.
ταῦτά νυ θεσπεσίης ὀλιγόστιχα χεύματ' ἐφετμῆς
οὐχ ὅλα νηπιάχοισι παρὰ βλεφάροισι φαείνει
παιδαρίων, ἥβης ἐπικαίρια μητιοώντων.
τῷ ῥα θεοσεβέων μερόπων ἔκκλητος ὅμιλος
εὐρύθμοις ἐπέεσσι περιοσολόγοισί τε μέτροις
ἔκπτυξιν προφέρων, τοίην γηρύεται ᾠδήν:

Deus benefacit & punit in tertiã & quartam generationem.

Verba illa nuda & ſimplicia Decalogi fuſiùs & planiùs reddũtur in ode Germanica, quæ incipit: Dz ſindt die heyligen zehen Gebott/ quæ canitur ſæpè ab Eccleſia, & habet membra duodecim.

I. οὗτος μὲν δεκάμυθος ἔφυ νόμος οὐρανόδεικτος,
ἡμῖν οἷον ἄνωθεν ἀκήριος ὤπασεν ἐσθλὴν
μωσῆος θείοιο διακτορίῃσιν ἰάλλων,
σινᾶ ἀφ' ὑψιβάτοιο λόφων καὶ πρώονος ἄκρου:
μουνοσέβαστος ἔγωγε θεὸς σέθεν εἰμὶ ποδηγὸς.
II. οὐ σὺ θεοὺς ἑτέρους ἀλιτήμονι δίζεο θυμῷ,
ἀλλά σε πασιθέλυμνον ἐμῶν ὑποβάλλεο χειρῶν,
νειόθεν ἐκ κραδίης ἐμὲ σὸν κτιστῆρα φιλήσας.
III. μήδ' ὀνομακλήδην ποτ' ἀτιμίῃσι μολύνοις
προσκαλέων μυαροῖς ἐπὶ πρήγμασι κοίρανον ἄστρων,
οὐδέ τι χρηστοπόνητον ἢ αἴσιμον ἔργον ἐνίψοις
εἰ μὴ ὅ,τι κρείων ὕπατος καλέοι τε καὶ ἔρδοι.
IIII. εἴης δ' εὐαγέων ὅταν ἕβδομον ἦμαρ ὄρωρε,
ὄφρα σὺ καὶ τεὸς οἶκος ἀεργηλοῖο γαλήνης
πᾶν ἦμαρ μνησῆσθε πόνων τ' ἄμπνευσιν ἔχητε
ἐν σοὶ δ' ἐργάζηται ἄναξ τέον ἦτορ ἰαίνων.
V. ἅζεσθαι γενετῆρα φίλον καὶ μητέρα κεδνὴν
μνώεο, καὶ σφισὶ ἀπεῦσον ἑαδότα πάντα τελέσσαι,
καὶ σφέας εὐστόργῳ κομέων ὑποφήτορι θυμῷ
ζήσεις ἡδυδίαιτος ἐπὶ χρόνον ἐμπεδόκυκλον.
VI. οὔτιν' ἐφημερίων ἀεσίφρονι χειρὶ φονεύοις
χειροδίκης, ὑπέροπλος, ὑπέρβιος, αὐτοτύραννος,
ἀλλὰ ταλάφρονα θυμὸν ἔχῃς ἀδικήματα πέσσων,
εὖ ἔρδειν δ' ἐθέλοις καὶ τὸν θρασυμήχανον ἐχθρόν.
VII. μαχλοσύνης δὲ κακῆς ὑπαλεύεο λέκτρ' ἐπιβαίνειν,
δεσμῷ σεμνογάμῳ φιλέων μόνον σύζυγα νύμφην,
ὀφθαλμοὺς δ' ἀπόεργε νόθης ἀπὸ μαχλάδος εὐνῆς,
αἰδῶ καὶ καθαρὴν ὁσίῃ βιοτῆτα γεραίρων.

οὐ κλοπίης ἐπίηρα φέρων νόον ἅρπαγι βουλῇ VIII.
ἄργυρον ἢ κτέαρ ἄλλο λυσαντεῖ χειρὶ χαλέψοις,
οὐ κακὰ κερδαίνοις παρὰ γείτονος, ἀλλὰ πενιχροὺς
δαψιλέως ἐπίθελγε φιλήμονι χειρὸς ἀγοστῷ.
οὔποτε λοξοεπὴς ἐπιμάρτυρος οὐ δόλος εἴης IX.
τὸν πέλας ἄνθρωπον ψευδορραφίῃσι πιέζων,
ἀλλὰ φύλαξ καὶ φρουρὸς ἀεὶ δσί οντι φανείης,
σφάλματα κακκρύπτων κεκαλυμμένα φαρεῖ σιγῆς.
οὐ δόμον οὐδὲ δάμαρτα σιωσυνέτιν οὐδέ τι χρῆμα X.
μάψ ἐπιθυμήσειας, ὅ σοῖς πλεατίσατο γείτων,
ἀλλ' οἷ ἐπαρήσαιο πανόλβια σώφρονι θυμῷ,
ὅσσα σοὶ ἀμφιχανεῖν ἐπιμαίεται ἔνδοθι θυμός.
τοῖαι μὲν μωσῆος ἐφημοσύναι δόθεν ἡμῖν, XI.
ἀκριβῶς ἵνα πᾶσαν ἁμαρτάδα σεῖο δοκεύοις,
ὦ βροτὲ πηλογόνων μεθέπων ἀόρον ἄγατον ἀνδρῶν,
σὺ δυνείως ἢ μαθῇς καὶ σὺ φρεσὶ βυσσοδομοσύνῃς.
πῶς προπάροιθε θεοῖο πέλει χρέος ἄμμε βιῶναι. XII.
ζωὴν δ' ὡς διάγωμεν ἀμεμφέες ἔμφρονι παλμῷ,
χριστὸς ἐπισθενός ἄμμι χέοι σωτήριος ἐστὶν
ἔργα γὰρ ἡμείων ἀποφώλια μηδὲν ὀνήσει
οὕνεκα δριμυχόλοιο κότου σπινθῆρας ἀνάπτει
a καὶ δὴ καὶ πάλιν ἐσμὸς ἐρασιθέων πολιητέων
παυροτέροις στοίχοισι παλιμπετέεσιν ἀείδει
ῥυθμὸν ἐλεγξικάκοιο νόμου, τοιαῦτα βοήσας:
ἢν συνηγεσίης συμφράδμονα τῇδε βιώνην
ἔδδεαι ἐντελέων, καὶ σὺ οὐρανίῃσι χορείαις I.



a Verba nuda Decalogi etiam alia ode Germanica breuiore, quæ incipit: Mensch wiltu leben seliglich/ꝛc. exponuntur & illustrantur, & habet membra quinque.

δηθύνειν, παρὰ πατρὶ μονοσκήπτρῳ τε βραβευτῇ,
ὀτραλέως, ἄνθρωπε, θεοῦ νόμον ἔσσο φυλάττων,
σεῖο θεὸς καὶ ἄναξ βασιλεύτατος οἶος ἐτύχθην,
II. οὐ θεοῦ ἀλλοδαποῦ ποτικήδεο νηΐδι θυμῷ,
ἀλλά μοι ἐκ κραδίης μυχάτης ἐπιθάρσιμος εἴης,
κτῆμα δ' ἐμὸν τελέθῃς καὶ εὐκλυμένη βασιλεία,
III. τιμάων καθαροῖς ἐμὸν οὔνομα σέψον ἰάμβοις,
σὺ δ' ὀλιγηπελίῃσιν ἐμὴν βώστρησον ἀρωγήν,
ἅγνισον ἀπρήκτοιο σέλας πεφυλαγμένον ἠοῦς,
σὺ σοὶ ὅπως καὶ ἐγὼ καταθύμιον ἔργον ὑφαίνω,
ἦρα φέρων τοκέεσσιν ἀπὸ θρεπτήρια δοίης
IIII. ἡμέτερον κατὰ νεῦμα. καὶ οὐ βροτὸν ἐξεναρίξαις
σμερδνὰ κοτεσσάμενός τε καὶ ἀπρεπέως βλεμεαίνων.
V. οὐδὲ ὑποκλέψοις κτεάνων ἀεσίφρονι βουλῇ.
οὐδέ τι μαρτυρέων ψευδόθροον ἦχον ἐρεύγοις.
οὐδὲ κεν οὐ νύμφην ὁμοδέμνιον ἀγχιθύροιο
γείτονος εἰς τεὰ λέκτρα κακαῖς ἴυγξι προσέλκοις
ἀλλ' αὐτοῦ κτεάνων πάντων ἐπιλήθεο πάμπαν.
κτήματα δ' ἀμφαγάπαζε θεόσδοτα σώφρονι θεσμῷ.

Ecclesia nō gignit nouum doctrinæ genus, sed interpres eloquiorum Dei, dicit σαφέστερον quædam, quæ explicatione indigent.

ἡ δὲ θεοκλήτων ἀγορὴ καὶ ὁμήγυρις ἀνδρῶν
Χριστοῦ νυμφοστόλου ἀριστογάμοιο γλυκίστη
παρθένος οὐκ ὤδινε νέον τρόπον ἀντιθέοιο
δόγματος οὐ μνηστῆρι νοήμασιν ἀντιφερίζει,
οὔ τινος ἐβλάστησεν ἀπὸ χροὸς ἄμμιγα δ' αὐτῷ
ξυνὴν ἕσσατο σάρκα καὶ ὀστέα ξυνὰ λέλογχεν,
ἀλλ' ἐτεὸν κατέχει θεσμοῦ νόον ὑψιμέδοντος,
καί που ὑπ' ἀχλυόεντι λόγων σκιήματι γνώμας
κρυφθείσας παίδεσσ' ἀμενηνονόοισι φανίζει,

πάντα

πάντα σαφηνίζουσα φαεινοτέρῳ τινὶ μύθῳ,
ὄμφης αὐτὴ ἐοῦσα σαφηνήτειρα φοβίστη
θεσπεσίης, εἵως δολιχόδρομος ἕρπεται αἰών.
αὐτὶ δ' ἐριδμαίνουσα κακῷ βακχεύεται οἴστρῳ
παππᾶ βλαψινόμου κλισίη καὶ δόγματα βουλῇ
ἀλλοθρόῳ κραδίῃσιν ὑπ' ἀνδρομένῃσι φυτεύει.
ὦ νέοι οὔασι βόμβον ἀνοιγομένοισι δέχεσθε
φθογγῆς ἡμετέρης, καὶ ἀκούσετε πῶς νοθοποίμην
παππᾶς ἀγκυλόμητις ἀμιλλητῆρι μενοινῇ
ἀφραδέως ἤλλαξε θεοῦ δεκεφετμὸν ἰωήν.
μουνόπρεμνον ἄνακτα πανόψιον οἷον ἀπ' ἄλλων
ἀμφαδὰ θεσμὸς ἄνωγε σεβασμοσύνῃσι γεραίρειν,
παππᾶς δ' ἀντιάχησε λύων σφρηγῖδας ἐφετμῆς,
θρησκοσύνην τ' ἐκέλευσε θεοῖς πολλοῖσι κορύσσειν,
ἀντιταγὴς χριστοῖο νόθος, δύσφημος ἀλάστωρ,
παντοίης ἀπάτης κεκορυθμένος ὕβρεϊ θυμόν.
οἷα γὰρ ἀλλοπρόσαλλον ἰουδαίων γένος ἀνδρῶν
πολλοῖς εἰδώλοις γόνυ κλίνετο καὶ στίχας ἄστρων
ἄφρονας ἐλλιτάνευσεν ἀφηγόνας, οἷα καὶ ἄλλων
υἷες ἐθνείων σφετέρους σχεδὸν ἐξονόμηναν
πλάσματα πάντα θεοὺς, καὶ ἑκούσιον αὐτοκέλευστον
αὐχένα δοχμάζοντο καὶ ἀγνώστοισι θεοῖσιν,
οἷς ποίησαν ἅπασι δόμους πυκινόχροϊ κόσμῳ,
οὓς ῥά νυ πανθείων ἐπεφήμισαν ἑλλάδι φωνῇ.
ὡς ἀντιχρίστοιο κακοζήλοιο τυραννὶς,
σύζυγον ἑβραίων ἣ ἔχει μίμημα καὶ ἐθνῶν,
δαιμονίων πλεόνων κέλεται φαντάσματα τίειν
τρὶς γὰρ μύριοι εἰσὶ θεοὶ παππᾶο κατ' αἶαν.

Antithesis Doctrinæ Pontificiæ corrumpētis & euertētis doctrinam Christianā, multis modis.

Papa, quomodo euerterit doctrinam Legis, Antithesi declaratur ordine per singula pręcepta Decalogi.

Contra primum præceptum, πολυθεΐαν sancit & statuit, more gentium.

πανθεῶνα gentium.

Papatus cōgestus è Iudaismo & Gētilismo.

Maria Re-ina cœli nuocata.

Maria, qd osfit, qd ribuat in-uocātibus e. Et quod nihil non restet mortalibus.

συνεχέως δ' ἐπέτελλε κλύειν βασίλισσαν ὀλύμπου
χριστοτόκον μαρίην, αὐτὸν δ' ἐπεπείσατο λαόν,
παρθένος ὅ,ττι μέλουσα θεοτόκος αἰβραβεύτην,
μειλίσσει κοῦρόν τε θεόμβροτον ἀγκὰς ἔχουσα
ὀφρύϊ πρηϋγέλῳ τέρπει φραδίῃσί τε πείθει:
αὐτὴ ὅτι σκοτόεντι φόως ἀνετείλατο κόσμῳ.
μαῖα δ' ἔφυ χάριτος, συχνῆς σώτειρά τε λώβης,
ταρταρέων ἐρύσασα κυνῶν ἀπὸ λαίλαπος ἐσθλούς.
δῆμον ὁμοῦ βασιλεῦσιν ἰδὲ πρύμον αὐσονιήων
εἴλυεν ὑπὸ πτερύγεσσιν ἀλεξικάκοιο χιτῶνος
σκέψαι ἀποσβέσασα χόλου φλόγα παμμεδέοντος,
πανδόκος ἐστὶ πόλου πυλεὼν δώτειρά τ' ἐάων,
καὶ κόσμοιο βίος, χαλεποῖς γλυκὺς ὅρμος ἀνίης,
εἰς τὴν δ' ἐλπίζουσι βροτοὶ βεβαρηότες ἄταις
κλικίην δὲ θεὰ χθονίων ὀρθώσει ἑκάστων,
πᾶσί τ' ἐπευχομένοισι πολύλλιτον ἦδος ὀφέλλει.
τούνεκα προσαιτοῦσι βροτοὶ γονάτεσσιν ἐκείνης
πάντοθι, καὶ κινυρῇ μὶν ἐπαυδάζουσιν ἰωῇ.
καί νυ λιταζομένοις ἀριήκοον οὖας ἄνασσα
παυλαρίοις τείνουσα χαρίζεται αἰολότεχνον
ἧμα νόου, μελέων τε θάλος καὶ εὔχλοον ἄνθος.
κούραις δὲ μνηστῆρας ἐπιζεύγνυσιν ἀγαυούς,
θηλυτέρας τ' ἄνδρεσσι δίδοι πάλιν ἱμερόεσσας,
καὶ γόνον ἠϋγένεθλον ὁμοζυγέεσσιν ὀπάζει,
καὶ τοκετοῦ βελέεσσιν ἰμαχομένῃσι γυναιξὶν
οἷά τις εἰλείθεια λεχωΐας ἄγχι παρέστιν,
αὐτίκα κηλήσασα μογοστόκον ἆσθμα λοχείης.
λεαίνει δὲ φάρυγγα βαρύπνοον ἐμπεδοχρέμπτων

γυρα

γηραλέων μοίρης τε περιπλομένων ἐνιαυτῶν.
λοίσθιον εἰς παράδεισον ἄγει σφέας ἡδέϊ πορθμῷ.
καὶ βροτοποιμάντειρα θεὰ στάχυν ὄμπνιον ἀγρῷ
ἠνεκὲς ἀγρύπνοις ἐπιδέρκεται ἵλαος ὄσσοις,
αἰὲν ἐπιστάλάουσα θεόρρυτον ὥριον ὄμβρον,
πάσας τ' ἀνθοδίνεσσι θέρει πίμπλησι καλιάς.
τὴν δὲ καὶ ὑγρομόθοιο κατὰ κλόνον ὠκεανοῖο
ἐγκύρσας ῥοθίοισι βαρυσμαράγοιο θαλάσσης,
ναύτης ἐλλιτάνευε πρὸς αἰθέρα χεῖρας ἀνασχών.
ἐμπορίῃ δὲ πολυπλάγκτῳ μεμελημένος ἀνήρ,
ἔργα τε συμπλέξας νοερῇ χερὶ μηχανικὸς φὼς
αὐτὴν κοσμανάσσαν ἀπαιτίζουσιν ὄνειαρ
κέρδεά τ' ἀργαλέων καὶ ἀεξιπόνων μελεδώνων.
ὅσσοι δ' εἰς ἀπίαν χθὸν' ἐπεντύνουσι πορείαν,
κινδύνους τρομέοντες ἀταρτηρούς τε κλύδωνας,
εἰς φυλακὴν μαρίης θεομήτορος ἠπιοδώρου
ἑαυτοὺς σφετέρων τε λάχος τιθέασι μελάθρων.
τί πλέω δὲ φροῦδον ἕκαστα διέρχομαι; ἔργμασι πᾶσι
πραξιθέην τιν' ἔφασκον ἔμεν μελεδήμονα πάσης
ἐργασίης, ἐνὶ πᾶσι προασπίστειραν ὀδυρμοῖς,
ἧς ὑπὸ νεύμασι γαῖα καὶ οὐρανὸς ἀστρολαμπὴς
ῥομβεῖται σφαιρηδὸν ἐυστροφάδεσσι πορείαις.
ταύτῃ γοῦν παρέουσα βλέπει τ' ἀΐει τε πρόπαντα,
παγκραντειραν ἔχουσα θεὰ φύσιν ἐντὸς ὀλύμπου
γαίης τ' ἐν πεδίοισι καὶ ἐν ῥοθίοισι θαλάσσης.
οὕτω τυφλώττουσι βροτοὶ μελανόφρονι θυμῷ,
παρθένον εἰς ὁσίαν ἀπατήλιον ἐλπίδα θέντες

Plures olim inuocabant & colebant Mariam, quàm Christum, si quid aduersi accideret.

μᾶλλον, ἢ εἰς κλυτὸν ὑμᾶ, θεοῦ λόγον αἰὲν ἐόντος,
εἰς τὴν δ' ὁρμαίνουσιν ἀνοιστρηθέντες ἐρωῇ
πασσυδίῃ, κεφαλῆφιν ὑποβρυχῆματ' εἴ τις ὀϊζὺς,
εἴπου ὑποστονάχουσι παροξυσμοῖς ἀλεγεινοῖς.
ταύτης μὲν πλάττουσι τύπους καὶ δείκελα πάντῃ,
καὶ μὶν ὑπ' οὐρανὸν αὐτὸν ἐλαφρίζουσιν ἐπαίνοις.
ἐν πάντεσσι μυχοῖσι καὶ ἐν πάντεσσι μελάθροις
ἱζῶντε προθύροισι ζυγῷ κάμπτουσι θεαίνης
αὐχένα δοχμωθέντα καθελκομένοιο καρήνου
δάκρυσιν ἀφνειοῖσι περιρραίνοντες ὀπωπὰς
στήθεά τε πλήξαντες ἐχεστονάχοις παλάμῃσι,
καὶ οἱ ἐπιξώουσιν ἐπηετανοὺς λιτανείας,
Fides in Christum neglecta & ignorata.
πειθὼ δ' ὀρθονόων μεγάλη προποδηγέτις ἀνδρῶν
πάμπαν ἀφαυροτάτῃσιν ἀτημελίῃσι μολύνθη,
ἀντήμων ἀπέδιλος ἐλείπετο ῥωγάδι λώπῃ
ἀμφιστειλαμένη, παύρους δ' ἐκίχησεν ὀπηδοὺς.
δυσσεβίῃ μέγας ὄλβος ἐφέσπεται ἀγλαὸ πλοῦτος.
Omnis honos tributus Mariæ, isq́; varijs modis.
πρὸς δ' ἔτι καὶ σταθεροῖς φιλοπάρθενον ἤμασι κούρην
ἱλαδὸν ἐντελέτοις περιποιπνύουσι θυηλαῖς
δημοβίωντε χοροὶ καὶ γυμνονόμων ἱερήων,
οἵ τε θεᾶς ἴνδαλμα λιθόξοον αἰολοπέπλοις
εἵμασι καὶ στεφάνοισι περιστέλλουσι ποθεινοῖς,
ἦχι νόου θελκτὴρ γλυκὺς ἀνθονόμων ἀπὸ βωμῶν
μυστίπολον κατὰ δῶμ' ἀνεκήκιε λαρὸς ἀϋτμὴ.
ὀξείῃς δ' ἀφιεῖσι βολαῖς σέλας ἐμπεδόλυχνον
λαμπάδες. ἀλλὰ γυναῖκες ἰδ' ἀνέρες εἰν ἑνὶ πάντες
δαλὸν κηριόβοσκον ἀναπρήθουσιν ἕκαστος,
καὶ καρπῶν λιβανοιο γλυκύπνοος ἔνθεος ὀδμὴ

παρ.

παρθενικῆς ἐμέθυσσεν ὅλον δόμον Ἰφιμεδούσης.
συμφερτοῖς δ' αὐλαῖσιν ὑπὸ σκιρτήματι χειρῶν
ὄργανα βομβήοντα συνέκτυπε σύνθροον ἠχῷ,
ἁρμονίης πάμφωνον ἔπος κελάδοντα λιγείης.
κορμαδότης δ' ἀγεληδὸν ἐπέρρεε λαὸς ἀλήτης
ἁψάμενος βωμοῖο καὶ ἄργυρον ἐγκαταβάλλων
νήπιος, οὐδέπου ἄνδρες ἀνὰ πλατυτέρμονα γαῖαν
τόσσον κυδαίνουσι θεοῦ γόνον. οὐδὲ γὰρ αὐτόν
τόσσον ἀριστεύοντα καὶ οὐ τόσον ἔμμεν ἀρωγὸν
ἀχθομένων δοκέουσι νόου κενοφροντίδι ῥιπῇ,
καὶ χλιδανώτερον ὄντα καθήμενον ἠθάδι θώκῳ
ἐν φρεσὶ τεκμαίρονται ἀνωΐστοισι μενοιναῖς,
ἤ ὅτι κηλογόνων περικήδεταί τε καὶ εὐχαῖς
δίζυγας ἀμπετάσῃ ζαθέους βαλβῖδας ἀκουῆς.
τοὔνεκα μικροῦ δεῖν, Χριστοῦ λόγον οὐδὲν ἔχουσι,
καὶ νηοὺς ὀλίγους περ ἀνὰ πλάκα πᾶσαν ἀρούρης
παπλαίνεις φορέοντας ἐπωνυμίην βροτορύστου
ὑψιγόνου σωτῆρος ἀειζώου βασιλῆος.
ἔμπλεα πάντα πέφυκε θεωθέντων ἐπικούρων,
λυτρωτὴρ χατέει. κροῖσον πολύχρυσον ἄνακτα
Πέτρος ξυντέκνος Παῦλός τ' ὑπερήλασε πλούτῳ.
καὶ ξόανον Μαρίης ἐσθήματι σιγαλόεντι
πολλάκι καὶ Σολομῶνος ὑπερβέβληκε κλυτοδόξου.
χρυσομανῆ δὲ Μίδαν ὁ πολυκτήμων Ἰάκωβος
νικᾷ δωροφόροισιν ὁδοιπορίῃσι σεβαστὸς.
ἀλλ' ἐπιβρωτεῦσαι κέλεται καὶ ἀρηγόνας ἄλλους
ψυχάων ὀλέτειρα μεγαφθόρος Ἰταλικὴ σφίγξ.
οὐ γὰρ ἐπισκοπίῃσι μόνης Χριστοῖο τεκούσης

Nemo tantum honoris, tantumq; fidei habuit Christo, quantum Mariæ, quæ vbiq; terrarum, quemadmodum etiam cæteri Sancti plura semper tēpla, quàm Christus, habuerunt.

Templa Petri & Pauli, diui Iacobi &c. magnificentissima & sumtuosissima

Sācti multi inuocati.

παύτ' ἐπιτέτραφαται μοροπηΐδος ἔργα γενέθλης.
ἀλλ' ἔτι καὶ λοιποὺς χραισμήτορας ἄφρονι λύσσῃ
ἄνδρες ἀνιχνεύουσιν, ὅσους ποτὲ κῆρι μελαίνῃ
δυστυχίης βροτέοιο δεδουπότας ἔξελε δαίμων
πανδαμάτωρ, χθονίων ἀπελεύθεροι ὥσπερ ἀλήτου
παυσωλῆς ἐπιβάντες ὅλῳ γευσαίατο λαιμῷ
θείης ἀμβροσίης καὶ νέκταρος ἡδυκυπέλλου,
οἱ δὲ παλιοσεύτους ἀπονοσφίζουσιν ὀλύμπου
ἀγγελικῆς τε χοροιτυπίης, καὶ νήγρετον αὐτοῖς
ὕπνον ἐλασσάμενοι βλεφάρων ἄπο νήδυμον ὕπνον.
φροντίσιν ἀμφιχέουσι πάλιν σφέας οὐτιδανῇσιν,
a ἄλλων δ' ἄλλοι ἔασιν ἀμύντορες ἀμμοριάων
εὐαγέων πάντων ἣ προτιμητώτερός ἐστὶ
μαῖα θεοβλάστοιο γένους φυγόδεμνος ἄνασσα.
οὕνεκα παντοίῃσιν ἐπίρροθος ἔρχετ' ἐν ἄταις.

a Alij Sancti & Patroni inuocati alia ministrabant auxilia, nā circa diuersa officia fuerunt occupati, Maria tamen semper primas tenēte & omnipotente, cùm cæterorum multò minor esset potentia.

Barbara. Βάρβαρα δ' ἱμερίους κομέει φρενὶ πηκυγαλίνῳ,
οὐδὲ θανεῖν εἴασε πρὶν ἢ κεκοροίατο φορβῆς
τοῦ σωματικῆς, δέματος σταυροσφάκτοιο φαγόντες.
ἀλλὰ διδάκτορας ἄνδρας ὁμοῦ συνόδους τε μαθόντων,

Catharina. ἀμφιέπει Καθαρῖνα: φιλοσπούδαιον ὀπάζει
ἐν μαθίῃ, δολεροῖς τε καὶ ἔξοδον ἐν λαβυρίνθοις
κρυψινόων δείκνυσι λόγων, ἀλαοῖς τε σοφισταῖς
μαιάνδρους ἐπέων ὑποβάλλεται αἰολονόμπων.

Apollonia ἄλγεα δ' συνάζει θεὸς ἀπολλωνὶς ὀδόντων.

Otilia. φάρμακον ὠτιλίη γλαμυρώδεϊ θήκατο γλήνῃ,
καὶ ψωραχριόωντας ἰδ' ἕλκεα λυπρὰ φέροντας.

Rochus. ῥῶχος ἀναλθεύει στυγερὴν λειχῆνα μαλάττων.

Valētinns. καί τε Βαλεντίνου μένος ἄλκιμον, ἠρακλέοιο

νοῦσο

οἳ δὲ βαρυπλήτοιο νόσου δασπλῆτι βεβήλους
κεντίζειν μάστιγι, παλιμφράστους ἢ σαῶσαι.
εἰ δέ τις ὀρχηστῆρι ποδῶν πολυδινέϊ παλμῷ
ἄστατον οἶστρον ἔχων ἐλελίζετο φοιτάδι λύσσῃ, **Vitus.**
τοῦτον ἀνεζώγρησε καὶ ἔμφρονα φοῖτος ἔθηκε.
κύματα θλιβομένης ἢ δυσεντέρα γαστρὸς ὀρασμὸς **Erasmus.**
θηλύνει, στομάχου τε πάθος κακόχυλον ἀλάλκει.
ὕδασι πνιξιφάρυγγα θεοστάπτοισι κυνάγχην
Βλάσιος ἐκφυγάδευσε βροτῶν τε τετρασκελέων τε. **Blasius.**
καί νυ σέβειν ἤνωγε πολύπλανος αὐσονίη θὴρ
a ἁγνοβίων ῥυπόωντα σεσηπότα λείψανα φωτῶν.
οὕνεκα καὶ τοῖς δέοσιν ἐπὶ φθονέος ἄμμιν ἀνοίξαι
καὶ κλεῖσαι πάγχαλκον ἐναύλιον οὐρανιώνων.
b λείψανα μὲν πολύμορφα παλαιφθιμένων πέλε φωτῶν,
λώπεα σαπρὰ, πολυτρήτων θ' ὑποδήματα ταρσῶν,
καὶ μηρῶν διδύμων ζωστήρια, τοῖσι φορῆες
ἀμφὶς ἀνεμμίτρωσαν ἀθηκίτου φύσιν αἰδοῦς,
καὶ τρίχες ἐθλοβίων, χόρτων τ' ἀκὶς ἠλιοκαύστων,
ἀρτιγόνου χριστοῖο λεχώϊα δέρματα φάτνης,
καὶ ῥαθάμιγξ γλαγόεσσα θεοτρεφέων ἀπὸ μαζῶν
παρθενικῆς, χριστοῖό τ' ἀπὸ θρομβηδὸν ὀπωπῆς
δάκρυον εἰβόμενον πεφυλαγμένον ἐν πτυχὶ κάλπης,
καὶ λίθος ᾧ θεόπαις ἐπίβαινεν, ἀντιτύπων ἢ
δίζυγον ἐμμόρφωσε περίτροχον ἄντυγα γλουτῶν.
οὐραγός ἐστι δ' ὄνου, τῷ ἐφιππεύσασκεν ἰησοῦς,
σῶος ἔτι; στυγνοί τε πάρα χαλκήρεες ἧλοι,
οἷσι ποτ' αὐτοπαθὴς τετορημένος ἀμνὸς ἐχέφρων
κάτθανε θνητοφυέων ὑπὲρ ἔθνεος αἰλινομοίρων.

a Religio, cultus & potestas magna etiã Sãctorũ reliquijs, data sunt.
b Reliquię Sãctorum. Fœnũ præsepis, in quo Christus iacuit. Cauda asini, in quo equitauit. Lachryma Christi. Caligæ Ioseph. Lac. Peplum Mariæ.

σῶα θεοσφιγκτῆρος ἐτύγχανε κόμματα σταυροῦ,
καὶ πέπλον μαρίης, σκελέα τ' ἐριῆρες ἰωσήφ.

Diuorũ numero & Sãctorum, se quoq; adnumerat Papa, Deus quispiã terrenus. & Dei vicarius.

τοῖς δ' ἐναρίθμιός ἐστι θεῶν φαντάσμασι παππᾶς,
οἷς ἔνι καυχᾶται προφερέστατον εὖχος ἀρέσθαι
αὐτός, ἐπιχθόνιός τις ἐὼν θεὸς ὑψιαγαστὸς
παμβασιλεύς, στήθεσι θεόμβροτον ἦθος ἀέξων,
καὶ ταμίης χριστοῖο κατὰ χθόνα καρπογενέθλον.
χριστὸς ἐῷ γενέτῃ γὰρ ὁμόθρονον ἔλλαχεν ἕδρην
οὐδ' ἄρ' ἄπωθεν ἐὼν δύναται περὶ φροντίδας ἔργων

Pontificis Romani immensa potentia.

τηλεδαπῶν μεθέπειν, διώκασιν δ' ὅγε πάνθ' ἐνέτειραν
λεχολογεῖ συνέχειν, κρῖναι παμψηφίδι γνώμῃ
ὅσσα που αἶα κέχανδε καὶ οὐρανὸς ἀμφικαλύπτει.
τῷ δ' αὐτῷ θέμις ἐστὶν ἑαδότα πάντα τελέσσαι,
ἀντιταγὴς χριστοῖο κατὰ χθόνα καὶ κατ' ὀλύμπου
ἕδρανον, ἰσοθέῳ κεκορυθμένος ἰσχύϊ θυμόν.
ἐν δὲ σάκει δισσὰς βουλοῦ κλῃῖδας ἀείρει,
ὄρχαμος ὢν βιοτῆς τε καὶ ἄμβροτος ἀρχὸς ὀλέθρου.
οὗ ἐπὶ δεξιτερῇ μέγας οὐρανὸς ἑδριάαται,
ζωῆς δ' ἀενάης ἐνὶ γούνασι μοῖραν ἐέργει.
ᾧ δ' ἐθέλει τὶ διδοῖ καὶ ὅτ' οὔ ἅδεν ἥρπασεν αὖθις.
μύθῳ δ' ὅνκ' ἐθέλῃσιν ἐλάφρισεν εἰς πόλον ἄστρων,
καί πάλιν εἰς ἀΐδαο κατεπρήνιξε βέρεθρον.
κληιδοπόλῳ δυνάμει γὰρ λύει πεδίοις τε βιάζει,
αἰθέρος αἰγλήεσσιν ἐν ἕρκεσιν ἐμβασιλεύων,
ὡς μακάρων ταμίης καὶ ὁμοῦ πυλαωρὸς ἄϋπνος,
πᾶσιν ἀφωτίστους περιδέδρομεν ἀχλὺς ὀπωπὰς
ἀνθρώποις, παππᾶς γὰρ μόνος λυγκεύτιδι γλήνῃ
ὀξὺς ὀπιπεύων τεθμοὺς τε διδασκαλίας τε

καὶ λαοὺς πατέρας τε καὶ αἰδοίους βασιλῆας
συγκλήτους τ᾽ ἀγοράς τε βροτῶν συνόδους τε προπάντων
ψηφίδος ἀκραιφνῆ πανελεγχέος εἰς κρίσιν ἕλκει.
ὅ,ττι δὲ κηρύξειεν ἑῇ σημάντορι φωνῇ,
τέθμιον ἀστυφέλικτον ἐφημερίοισι τέτυκται,
οὐδέ τι διστάζειν οὐδ᾽ ἀντιάχειν τὶς ἐτόλμα,
ἀλλ᾽ ὅ,τι καὶ ῥέγχοντι πατὴρ μαντεύεται ὕπνῳ,
νυκτὸς ὁμιλήσας ταχυμερμήροισιν ὀνείροις,
ὅ,ττι καὶ ἐκ μεθύοντος ἀπέπτυσεν ἀνθερεῶνος,
ὄμμασι βρίθουσιν καὶ ἀναισθήτῳ τινὶ λαιμῷ
γλώττῃ ναρκητῇ τε πιεῖν καὶ χανδὸν ἀφύσσειν
ἄνδρας ἀναγκάζει. τοῦ γὰρ σθένος ἐστὶ μέγιστον.
καί νυ κεν ὅ,ττι νόημα μετὰ φρεσὶ βυσσοδομεύει,
χρησμὸς ἔφυ σταθμός τε πανιερὸς ἀπροτίναπτος.
οὐδ᾽ ἐπιφωνήσας μὶν ἑῷ διφήτορι μύθῳ
ὦ δέ τες ἐκφράσσειε· τίη σύγε τοῦτο τέλεσσας;
πάντα ταλαντεύειν γὰρ ἐπίσταται ἠθάδι τέχνῃ
ῥίμφα δικαιοποιῶν ἀθεμίστια, καλὰ δ᾽ ἀμείβων
εἰς κακὰ θερμὸν ὁμοῦ πνείων καὶ ψυχρὸν ἄημα.
οὕνεκα τῷ δὲ δίκη καὶ ἀάσχετος ἕσπεται ἀλκὴ
ὠκυμόρων μακάρων τε θεουργοπόνοις ἐν ὁμίλοις
ἰθύνειν πλάστιγγα δικασπόλον ὀρθοτάλαντον
τοὔνεκα τριχθαδίῳ διαδήματι κυκλάδα κόρσην
ἀμφιπεριστέψας ἀγλαΐζεται, ἐν ᾗ θοώκῳ
ἕδρης χρυσοδέτοιο καθήμενος οὔχει γαίει.
a πάντες δ᾽ ἰταλίωνες ὁμοῦ καὶ ἰβηρίδος αἴης
ἐνναέται, κίμβρων θ᾽ ἁλιμόρμυρον οὖδας ἔχοντες
δανοὶ ἐπικλήδην πεφατισμένοι ἠθάδι φωνῇ,

a Plereq; terræ & regiones Europææ, Papã coluerunt, præter Græcos.

βρεττανίης τ' εὔμηλον ἀροτρεύοντες ἄρουραν,
ῥῶσοι, σύν τε σκότοις λασιόχροον ἔθνος ὑβερνῶν
καὶ χθονὸς οὐγγαρίοιο βαθὺν πλάκα ναιετάοντες,
νορβηγοί τε κλυτοὶ, θρασυμέμνονες ἠδὲ βοημοὶ,
οἵ τε πολωνιάδος γαίης ἀτίταλλον ἐξίπναι
αὐτολίης πλάζοντας ὑπὸ κλίμα, πάντα τε φωτῶν
φῦλα μενεπτολέμων ἀλεμανίδος ἔγγονα γαίης,
αὐχένα παππονόμοισιν ὑπεκλίνοντο λεπάδνοις.
μοῦνοι μυθοτόκων φιλοπευθέες υἷες ἀχαιῶν
οὔποτε ῥωμαίου δ' ἀκέτου κύσαν ἀβρὰ πέδιλα,
τῷ περ, ὅ πη ῥωμαῖον ἀκούεται οὔνομα, λαὸς
στήθεϊ πηρονόῳ κεχαρισμένα πάντα περαίνει,
καὶ μὴν ὑποδρομέων σαίνει λιγυροῖσιν ἐπαίνοις.
πολλὸν ἀγασσάμενός τε καὶ ἀσπασμοῖσιν ἰαίνων,
ἠύτ' ὀλυμποθόωκον ἀνάκτορα παντολοχεύτην.
Terra Sancta, quam calcat Papa, ideo sublimis gestatur ceu fœderis arca, in qua cunctis domini sit mãna repostum.
τὴν δ' ἔραν ἁγνοπονεῖ καὶ ἑοῖς βαθμοῖσι καθαίρει,
ἤ ἔπι καλλιβάτης σφυρὸν ἀβροπέδιλον ἐρείδει,
ὅ, ττι καὶ ἀσκεπέεσσιν ἐφάψηται παλάμῃσιν,
ἱρὸν ἔφυ καθαρόν τε καὶ ἄσπιλον οὐκ ἔτ' ὀνοστόν.
οὔθαρ ὑπ' ἀτμενίῃ μερόπων δάπος ὑψιφορεῖται,
ξυνθεσίης ἅτε κίστις ἀτειρέος· ἧ τε βέβυσται
μαννης αἰθερίης, ἵνα μὴ κυκλοειδέος αἴης.
πᾶν ἔλαφος λαμπρύνῃ ἑοῖς ποσὶ πεζοπορεύων,
χρυσοτόκοιο μίδαο φέρων μίμημα κρέοντος,
πάνθ' ὅπερ εἰς χρυσὸν μεταμείψατο χερσὶ καθάψας,
μή πουέ παν ξύμπαντα πέλοι παππαυγέος αἴγλης
ἔμπλεα, κῦδος ὄλοιτο τυφωέος αὐσονίοιο,
μηδὲ σέβας κείνοιο πέσοι κονίῃσι φορυνθῇ,

νέρτερον

νέρτερον εἰς ἔρεβος μετανεύμενον ἔνθεν ἄερθη,
οὐδέκεν αἰσχροπρεπῶς παντεύκτορος οὔνομ' ἄνακτος
ἄμμιν ὁμιλῆσαι ψευδηγόρος ἔννεπε παππᾶς,
εἰς δρόμον ἦν σπεύσωμεν ὁμοζήλοισι μοναχοῖς
καὶ σφετέροιο νόμου κατ' ἀταρπιτὸν ἴχνος ἔχωμεν.
a ἀλλὰ μὲν ἀλλ' αὐτοῦ τεθμῶν ξύμπασα κεραίη
σκώμμασιν ὑβρίζει τε θεὸν γενετῆρα, κλυτόν τε
υἷα γελοιάζει καὶ μυκτηρίσμασι νύσσει.

b ἦος σαββατικοῦ δὲ κέλευν ἁγιασμὸν ἔειπε
θρησκείας σπουδάς τε καὶ ὄργια ποικιλόπομπα,
παίγνιον ὅσσα σοφοῖσι κενόπρηκτόν τε θέλημα
ἔλπετο, θαῦμα δ' ἀγαθὸν ἀπειρήτων φρεσὶν ἀνδρῶν.
ἐθελολαθὴς δ' ἀμέλεια θεοῤῥήτων ἐνοπάων
στήθεσιν ἐμπεφυυῖα βροτῶν φύσιν ἐξαλάωσεν,
ὡς μὴ ψυχοβότειραν ὑπὸ φρεσὶ μῆτιν ἐλίσσειν
ἠὲ πυκνιθέοις συμφράδμονα θυμὸν ἀοιδαῖς
πορσυνέειν ἴσχωσιν, οἳ ἡμιθνῆτες ἔκειντο
νόσφι θεοῦ χριστοῦ τε καὶ αὐξιβίου δάχα πειθοῦς.
c ἀνδροβόρου δ' ὑπέροπλος ἀλάστορος ἔρχεται ἀρχὴ
πᾶσα περιφραχθεῖσα βροτοκμήτῳ διατάξει,
οὐδ' ὑποκάρδιός ἐστιν. ἐν κερόεντι δὲ κόσμῳ
στήθεος ἐκτὸς ἀλᾶται ἀπότροπος ἀγκυλόβουλος.
οὐδεὶς γὰρ λογίων ὀρθὴν ἐδίδαξε πορείην,
ὅ, τι παραγράψαντες ἐπόπτην οὐρανοέστην,
λωβοτρόβου σατανᾶο διάκτορον ἔργον ὕφηναν
οἱ πλεῖστοι σκολιοὶ λογόδουλοι κηδεμονῆες.
d καὶ σχεδὸν ἐν ἑνὶ πᾶσι γοητικὰ φάρμακα τεύχειν
ἀρητῆρσι μέμηλεν. ὅθεν κακοδαίμονας ἐχθροὺς

Secundum preceptum Decalogi, quomodo à Pontificijs euertatur.

a Singuli apices mãdatorũ Papæ cõtumelia afficiũt filium Dei.

b Sabathi Pontificij sanctificatio, contra Tertium præceptũ.

c Totũ Regnum Papę venit cum obseruatione, contra Christi regnum.

d Põtificij multi, quibus cura docẽdi verbi demãdara, Nigromãtici fuerunt, à quibus plebs respõsa, tãquam ab Apolline petebant.

ἔμπεδον

ἔμπεδον ὑαλίνοις σφαιρώμασιν ἐγκατέδησαν.
τοὺς ἀρκτῆρας ἅτ' ἐσσομένων δεδαῶτι
πνεύματι παφλάζοντας, ἐτητομίης θ' ὑποφήτας

Quartū prę ceptum ferè plane Papa ſuſtulit.

μαντοσύνην ἐρέεινον. ἐφετμοσύνης δὲ τετάρτης
κληϊστῆρ' ἀθέμιστος ἀνεστυφέλιξεν ὀχῆα,
πάντα τ' ἀπερρίζωσε θεμέθλια σώφρονος ἀρχῆς,
οἰκοφελέων γαμίων τε νόμων ζυγόδεσμα πατήσας.

Coniugiū vt impurū genus vitæ damnatū.

τούτων γὰρ βροτὸν ἄνδρα περιπλεχθέντα χαλινοῖς
ἔννεπεν ἀχρήϊστον ἀναιδέος ἦθος ἀγωγῆς
αὐξῆσαι, διάγειν τ' ἀτελειοτέρῳ τινὶ θεσμῷ.
τὴν δὲ τελείωσιν χρέος ἔμμεναι ὥσπερ ἀπ' αὐτοῦ
λήψῃ, ἐπεὶ μόνος αὐτὸς ὑπείροχον ἔξοχον ἄλλων
συμπάντων προβέβουλεν ἔχειν περικυδέα δόξαν,
μοῦνος ὁμοιόθεος καὶ ἐς ἄκρον σεμνότατος φώς.
ἔστι δὲ ψευδοχαρὴς ἐπιμάρτυρος αὐτὸς ἑαυτῷ

Papa impudenter vſurpat ſibi ius & imperiū in omnes omniū ordinum homines, cū his omnib. multis modis præſtet, habens poteſtatē cōferēdi regna mūdi & auferendi.

καὶ ἓ ἐπηώρησεν ὑπὲρ βροτὸν ὧδ' ἀγορεύων:
ἀντιταγὴς Χριστοῖο δικαιότατος γεγένημαι,
οὐ ὑπὸ κοιρανίῃ πεπλασμένα Χριστὸς ἔθηκε
πάντα, τάπερ πόλον ἔσχε καὶ ἐν χθονὶ νέρτερον ἕρπει.
ἄλλων γὰρ βασιλεὺς μεμελημένος ἐργασιάων,
οὐκ ὄθετ' οὐρανίων τε χαμαιτρεφέων τε γενέθλων,
κεῖνον ἐμοὶ πόρε δῶρον ὅπως σκήπτρων ἀγατίμων
ἡνία πορσυνέω ταγοῖς, καὶ ἀπ' αὖθις ἀναιρῶ.
πᾶσαν ἀνακτορίην γὰρ ἐγὼ πολυδέγμονι κλήρῳ
δεικανάω, καὶ κῦδον ὅλου κόσμοιο τιταίνω.

Reges tenētur ipſi è ſtabulo adducere equum, oſculari pedes, & ferre patienter, etiamſi pedib. ab illo calcentur.

ἐκ σταθμοῦ δ' ἐλάσαντες ἀελλοπὸν εὔδρομον ἵππον,
ἄρμενον ἵππον ἔμοιγε παραστήσειαν ἄνακτες,

καὶ στάποδας χείρεσσιν ἐϋγνάμπτοισι λαβόντες.
ὧ κἀμοὶ ἐμβεβαῶτι τὸ θηέλον ἀντιόωσιν,
οἷς καὶ ἐμοὺς θέμις ἐστὶ κύσαι πόδας ἠδ' ἀνέχεσθαι
πτέρνην ἣν ποῦ ἐμὴν αὐτῶν καθύπερθεν ἀείρω
λακτίζων κεφαλὴν καὶ στήθεα θυάδι ταρσῷ.
εἰ δ' ἄρ ἐμοῦ θεσμοῖο παρεκβαίνωσι κελεύθους,
καί μοι ἐριδμαίνωσιν ἐναντιβίῳ τινὶ λύσσῃ,
ἔκβλητοι χριστοῖο γενοίατο θέσπιδος ἀρχῆς,
ἄθματι βακχευθέντες ἀμυξινόοιο κεραυνοῦ.
εἰ μὴ δ' ἐρισθενέων μὲν ἐγὼ βασιλεὺς βασιλήων
ἀρχῆς ἐν ζαθέῃσι καὶ ἐν θεοτερπέϊ μάνδρῃ.
ὧδε γὰρ ἀρχαίῃ κεχαραγμένον ἔπλετο βίβλῳ:
ἀνθρώπων βασιλεὺς ἄνιος φοίβοιό τε μάντις.
τοὔνεκεν ἡγητῆρας ἀμέρσατο θούριδος ἀλκῆς,
τῆς τε δίκης γύμνωσεν ἀνάκτορας. αἰχμοφόρους δὲ
σφωϊτέρους μονάχους τε καὶ ἀπαλάμων ἱερήων
σμήνεα, ταρταρίης ὀφιώδεος ἔκγονα φύτλης,
ἀμφὶς ἐλευθερίης βειαρῇ περιέσσατο τύρσει.
ἄχθεά τε σφὶν ἀφεῖλε ταγειάων ἐπιγείων,
οὐδέ κε τοὺς δ' ἐθέλησεν, ὑπαίτιοι ὄφρα πέλοιεν
δασμοφόρων καὶ κηνσολόγων βαλίῃσιν ἀνάγκαις.
οὔ τινι δ' ἐκ κείνων δηΐους ἐπὶ χεῖρας ἰάλλειν
οὐδέ που εἰς φυλακὴν τὶς ἄγειν ἐτάλασσεν ἐρεμνὴν,
εἰ καὶ πατροφόνοι πάντων τ' ὀλοώτατοι εἶεν,
τούτους δ' εἴτις ἑκὼν ἀκαχίσατο χειρὶ πατάσσων,
εἰς χόλον οἰστρηθεῖσαν ὅλην βροτοθρέμμονα γαῖαν
ἤδεε, καὶ βαρύμηνιν ἑλιξιπόρων στρατὸν ἄστρων
ἔκδικον ὄμμα φέροντα κακῇ προκαλέσσατο τόλμῃ.

Papa rex regũ politicè & ecclesiasticè, vt scriptũ est: Rex Anius, rex idẽ hominũ Phœbiq; sacerdos. Magistratui omne ius abstulit in suos ministros, Monachos, Canonicos, &c. Et liberos fecit ab omnibus oneribus publicis, contributionib. &c.

μηδένα γὰρ μερόπων ἠδέσατο μηδὲ θέμιστας
δείδιε γοργωπὸν δάκος, ἀλλ' ἐπὶ πᾶσιν οἰστοὺς
ταρβέος ἠκόντιζε ταραξινόους τε μερίμνας.
ἕδρης ῥωμαϊκῆς ἣ πολυστυγὲς οὔνομα πᾶσι
δεῖμα φέρει θνητοῖσιν. ὅθεν νεμεσήμονι χαλκῷ
οὔτε τὶς ἀμφιπόλων βλαπτέσκετο παπποφιλεόντων,
κῶμον ἐπιζαφέλως πάσης ἀνέκοψαν ἑορτῆς,
ἀρρήτους νηοῦ παρὰ δικλίσι θέντες ὀχῆας,
οὐδὲ λιγὺ κρούοντο μέλος μυκήτορες αὐλοὶ
πηκτίδος ὀργανικῆς, γλυκερῆς παύοντό τ' ἀοιδῆς.
οὐκέτι δ' ἐκροτάλιζον ἐνηέϊ κύμβαλα βόμβῳ,
ἀλλά γ' ἔμπλεα πάντα πολυκλαύθμοιο γόοιο
πενθαλέον στονάχιζεν, ὀλέθριον ἀνδροφονῆα
κοινῇ ἕως ἐκίχησαν ἀμοιβάδες ἀμπλακιάων.
τόσσον γαυριόωσι, τόσον δὲ καὶ ὄγκον ἔχουσιν,
αὐτοφιλῆ νέμεσίν τε θεῶν τόσον ἀμφαγαπῶσιν,
ἣν δὲ φυγὼν ὁ φονεύς. λύγον ἐξυπάλυξεν ὀλέθρου,
αὐτίκα μὶν περιστῆρι δεδουπότα μιξικεραύνῳ
κύμβαχον ἐκρήμνιξαν ἔσω φλεγεθοντίδος αὐλῆς
βροντῆς φρικαλέῃσι καταιγίσι παιφάσσοντες,
καὶ μὶν ἀλυκτοπέδῃσι νόον σφιγχθέντα πλοκῇσι
πάμπαν ἀπεκρήμνιζον ἀφ' ἕρκεος ἀστροκελεύθου,
οὐδ' ὅγε λοιγά τ' ἑοῖο λυτήριον εὕρατο λώβης,
εἰ μὴ ῥωμαϊκοῦ τόδ' ἕλῃ δώρημα νομῆος.
οὕτω πᾶσι βροτοῖσιν ὑπὸ τρόμον αἰνὸν ὄρειναν,
ὄφρ' ἀνδροκτασίας τε βαρυπνεύστους τε κυδοιμοὺς
λυγροῦ μῶλον ἄρηος ὀδυρμοφόρους τε κλύδωνας
ῥηϊδίως σεύοιεν ὅτε σφὶν ἐφκύδανε βουλή,

Si quis forte de rasis pontificijs esset quomodocunque læsus, cuncta sacra ad tempus intermittebant tur, excommunicato autore.

Pontificijs perditis summa libertate, licuit quod libuit.

ἣν που ὑπὸ κραδίην βλοσυρὴ κατέπηξεν ἐριννύς.
καὶ γὰρ ἐλευθερίη παπποχίστοισι μεγίστη
ἠλαδὸν ἱροπόλοις συναπέρχεται, ἀμφὶ δὲ ταύτης
συμφορτὴν ἐχάραξαν ἀμοιβαίων στίχα βίβλων. Ius Canonicum Pontificiorum præsidium.
ὅσσας κανονικοὺς πρὶν ἐμυθήσαντο θέμιστας,
ὧν αὐτοὶ τανύφυλλον ὑπὸ σκιὰν ἠρεμέοντες
ὄμμασιν ὕπνον ἔδωκαν ἄϋπνοον ἀμφοτέροισιν,
καὶ μελεδήματα πάντα μυχῷ φρενὸς ἐξεκένωσαν.

νεκρῶσαι δ' ἅμα πάντας ἀλοικτῆρι σιδήρῳ Quid doceat & mãdet contra Quintum preceptum Pontifex Romanus.
ληϊστὴρ ἐκέλευσεν ἀϊστωτήρ τε θεείου
πώεος, ὅσσοι νοῦμα θεοπνεύστων ἐνοπάων
ἀμφιπεριπτύξαντο, καὶ οὐ βαβυλωνίδι πόρνῃ
μάρτυρον ἱκεσίης κυρτούμενον αὐχένα κάμψαν.
οὐδ' ἐπιφείδεσθαί γε κασιγνήτων καὶ ὁμαίμων
ἤθελεν, ὅττι κακῶν ἀπερμαύτορας αἱρεσιάων
ἀθραύστῳ πέφνωμεν ἀπήμονι λευκάδι θυμῷ.
ὕβριν ἐλεγχίστην δὲ καὶ αἴσχεα ποικίλα δεσμοῖς Qua contumelia afficiat Sextũ preceptum Decalogi.
συζυγίης ἐπέχουσεν, ἐπεὶ συναφήκεν ὁμεύνους
αὐτός, ὅσους ἐθέλεσκεν, ἀπ' ἀλλήλοιν δὲ κεάσσας
συλλέκτρους γαμίων πάλιν ἔσβεσε δαλὸν ἐρώτων,
ὁσσάκις οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.
ἀρχὴν γὰρ διέπει τόθι θαυματοειδέϊ θεσμῷ.
πυρσὸν ἀναπρηκθέντα τελεσσιγόνων ὑμεναίων
ἤνεσεν ἀγνώστων πρὶν ἀναινομένων τε τοκήων,
θεσμοῦ ὑπερφιάλως παρορῶν. ἔμφυλον ὄνειδος
οὔποτε, δῶρα λαβών, κατερήτυε, καὶ γὰρ ἀδελφῷ
αὐτοκασιγνήτην, ἰδίῳ δὲ θύγατρα τοκῆϊ
πολλάκις εἰς λέχος ἦγε γαμοχραύτῳ τινὶ θεσμῷ.

αὐτὸς ἐπεὶ καὶ μητρὶ κασιγνήτῃ τε καὶ ἄλλαις
συμφύλοις παρίαυεν ἀναιδεῖ μαχλάδι λύσσῃ.
καὶ οἱ μυρία λέκτρα γάμος δ᾽ οὐδεὶς ἐμελήθη
γνήσιος, ἀκατέλεγκτος ἐπὶ χθονός, οὕνεκεν αὐτὸς
ἔπλετο πορνοτρόφων μιαρῶν δαδοῦχος ἁπάντων.

Cōcubinæ Pontificiorum.

κεῖνος ἑοῖς ἑτάροις βασαροστόλον ἔργον ὑφαίνων,
κοινογυναῖκας ἔχειν ὁμοδεμνίδας οὔτι μεγαίρει,
ὅσσας μαιμώωσιν, ὅταν γαμοδέσμιον ἔμπης
ξυνὸν ἀλυσκάζουσιν ἄγειν ποτὶ λέκτρον ἄκοιτιν,
ἔντοθι συζυγίης χλιδοστρεπέος αἰσχροδιαίτου
αἰδοφιλοῦς πλώσαντες ἀκήρατον οἶδμα βίοιο.

Templa πανδήμου ἀφροδίτης constituta in multis vrbibus Europæ, Vbi non erat vitiū scortari

ἀλλὰ καὶ Εὐρώπης σχεδὸν εἰς πτολίεθρον ἕκαστον
πορνοτροφεῖον ἔθηκε κυθηρίδος ἱρὸν ἀνάσσης,
ὁππόθι δέγμενος ὦνον ἐϋχρύσου μετανοίης
παντοῖον λώβημα παναμνήστῳ πόρε σιγῇ,
χανδὸν ἁμαρτοσύνῃ γλισχροὺς πυλεῶνας ἀνοίξας,
μὴ πάτος αἰζηοῖσι γυναιμανέεσσι δεθείη
κοινῇ ἀγρελίως κλοπέῃ φιλότητι μιγῆναι
παισὶ κασαλβιάδεσσιν, ὅσαις παρακαγχαλόωντες
ἐνναέται ξεῖνοί τε καὶ ἱππῆες μονέχαρμοι,
πεζοί τε ζυγίων ἀδαήμονες εἰσέτι δεσμῶν
δηθὰ κατατρυφόωνται ἑὴν κορέσαντες ἐρωήν,
κύπριδος ὀξυτόροις τετμηκότες ἦτορ ὀϊστοῖς.
οὔτινα τῇ δ᾽ αἰδὼς φιλοπάρθενος οὔτε μελεδὼν
ἔσθενεν ἐντροπάαν, ὅτι παίγνιον εἴδεται εἶναι
τοῖς αἰδοσφαλέεσσι κυσὶν παππᾶο συνέργοις,
πορνεύειν λέκτρον τ᾽ ἐπὶ μοιχικὸν ἀμφαδὰ βαίνειν.
πάντα κελευτιάα καὶ ἐπέτρεπε πάντα τυφάων,

οὐ μόνον

οὐ μόνον οἱ αὐτῷ κεχαρισμένος, ἀλλ' ἔτι καὶ νῦν
χρυσοβόρον πολύπηχυν ἀνὰ χθόνα χεῖρα τιταίνων,
πᾶσιν ἀθώωσιν γλυκερὴν ἐπένευσε κομίζειν,
χρυσὸν ὅσοι παρέδωκαν ἀφειδέες, ἆ μέγ' ὄνειδος,
ἤθεα τοῖα δὲ κύπρον ἰδ' ἴσθμιον ἄστυ κορίνθου
ἤσχυναν τὸ πάροιθεν, ὅτε θρασυμήχανος ἄδου
κοίρανος ἐμβασίλευεν ἔτι ζοφοείμονι κόσμῳ
δωτίνην ᾗ ἔπεισεν ἑοῖς γλυκύτερπνον ἑταίροις,
πᾶσαν μαχλοσύνης ἰέναι τρίβον ἐν τ' ἀμαρτῆσιν
εἰλεῖσθαι σοδόμης πυρικαυθέος, οἷά τε λίμνης
τέρπεται ἰλυόεσσαν ἀνὰ πτύχα κοπροφιλὴς ὗς,
πάγχυ λαβὼν ἀπὸ πᾶσαν ἵνα σφισὶ μαργοδιαίτου
καὶ κινδυνοπλέοιο γαμοζυγίης ἀνακόψῃ.
οὐ μύσος, ἦν τὸ μεταξὺ δόμοις ἐνὶ μουναχοκοίτοις
ἔνδια κηλώνων καὶ ἐναύλια βορβοροπάων
πασιγάμων τελέθησιν, ὅπῃ κρυφίῳ τινὶ πότμῳ
πάμπαν ἀνηρίθμων βρεφέων στίχες αἰσχρολοχεύτων
συνῆς τε κλοπέης καὶ ἀγεννέος ἐκπροθορόντων,
οἰκτροπρεπῶς ὀλέκοντο, πρὶν ἢ καὶ μητρὸς ὀλισθεῖν
πὰρ πόδας ἀστόργοιο, πρὶν εἰς φάος ἱερὸν ἕρπειν.
ἔνθεν ἀσελγείῃ καὶ κοινομιγέεσιν ἐρώτων
βρασμοσύναις πεπάλακται ἀπείρονα πείρατα κόσμου.
*κούρης δ' ἑστιάδεσσιν, ὅσαι ποτὲ φιλαφροδίτοις
κλεψιγάμῳ μονάχοισι νόμῳ νύμφευθεν ἀθέσμως
ζώνην ῥηξάμεναι λυσιπάρθενον. αὐτίκα παππᾶς
παρθενίης θαλερὸν παλιναυξέος ἄνθος ὄφελλεν,
καὶ σφὶν ἐπεξύνωσεν ὃ μὴ φύσις σθένεν ὀπάσσαι,
καὶ στάσιν εἰσανέθηκεν (ὅθεν πέσον ἄφρονι τόλμῃ)

Omnis generis libidines pmittūtur Pōtificijs, vt ea occasione causa expetēdi coniugij prorsus eripiatur. Monasteria facta domicilia lenonum & meretricū.

* Mōialib. vitiatis virginitatē restituebat & īstallo suo (quod dicebant) iterū cōstituebat nā nō erat ei impossibile vllum verbum.

 παρ-

παρθενικὰς ἀδμῆτας ἀπειρήτους κυθερείης.
αὐτὸς πανδυνάτου κράτεος πρόμος ἀρχιερεύς τε
παντοδύκτωρ, ἀδάμαστος, ἀτέρμονος ἄρχαμος ἕδρης,
οὐδ᾽ ὅγε κλεπτοσύνῃ βλαψίνοϊ θῆκε χαλινοὺς,
ἀλλὰ λέπαδνα χάλασε καὶ ἡνία φωλάδι τέχνῃ,
ἤθεϊ τε σφετέρῳ κλοπίην κάρτυνε μάλιστα,
αὐτὸς ἐὼν κλεπτῶν τε καὶ ἱεροσύλων συναπάντων
ἀρχὸς καὶ κορυφαῖος, ὁ τὸν κενοπειθέα κόσμον
παντοίαισ ἀπάτῃσι καὶ ἁρπαλέῃς ἐπιβουλαῖς
συλεύων, κτεανῶν τε τόσον θησαυρὸν ἀγείρων,
ὄλβῳ ὅπως πάντας καταβεβρίθῃ βασιλῆας,
τόσσον ἐπ᾽ ἦμαρ ἕκαστον ἐς ἀφνεὸν ἤρπασεν οἶκον.
λυσίκακον δύναμίν τε καὶ οὐρανὸν ὤνιον ἴσχων.
ὡς οὐδ᾽ ἡγεμόνων τὶς ὑπέρτερον ἔλλαχε τιμὴν,
κἴπερ ἐϋκτήμων τε καὶ ἀγλαΐῃσι γενέθλης
κύδιμος ἠνορέῃ τε κεκασμένος ὑψιφρονούσῃ,
ὅρρακεν ἀμφιπόλοις κυκλούμενος ἱπποκελευσταῖς
πεζοδρόμων στρατιῇ τε συνήλυδι δουρικορυστῶν
μιτρωθεὶς, ὑπέρογκον ἔχει τρόπον ἴχνος ἐλίσσων,
καὶ που ἀγειρομένων περόων ἀνὰ συρφετὸν ἀνδρῶν·
οὔτινος ἠπείλησαν ἐς αὔτυγας ἀστροελίκτους,
δώματα πυργωθέντα τανυκρηπῖδι θεμέθλῳ,
οἷς ἔνι οἱ τερπνιστὰ καὶ ἄφθονα πάντα πάρεστι,
τερπομένῳ θαλίῃσι καὶ ὠσκυφίων ἐν ἀέθλοις
νέκταρ ἀφυσσομένῳ γλυκερὸν λαθικηδέος οἴνου.
ὧ καὶ θηροσύνη μελετήμον ἔνδοθι θυμὸν
εὐφραίνει σκυλάκων τε πολύθροος ὀξὺς ὑλαγμὸς
καὶ κεμὰς, ἀγρευτήρ τ᾽ ἐλαφηβόλος ἦτορ ἰαίνει,

Septimum pręceptum Decalogi quo pacto tractârit.

Opes, potẽtia, luxus, fastus, aulę Pontificiæ.

καὶ

καὶ μάκαρ ἐν μεγάροις πέπαται πολυπάμμονι κλήρῳ,
ὅσσα χαμαιτρεφέεσσιν ἐπίσταται ὄλβον ἀέξειν.
καὶ δὴ ἐπισκοπίης τίτλῳ μέγα γαυριόωντες

Episcopi plærique & Abbates principum potētū more, se gerūt. Cardinales, cor, anima & ianua regni Pontificij.

καὶ μονάχων γεραροὶ νωμήτορες αἰολοπλούτων
ἦθος ἐμιμήσαντο πολυτειβὲς ἡγεμονήων.
σιγήσω πομπῆας ἀγκύρας, οἷσι θυραίων
ἐκ στροφέων κέετ' οὔνομ', ἐπεὶ κέαρ ἠδὲ θύρετρον
καὶ ψυχὴν γεγάασιν ὅλης βαβυλωνίδος ἀρχῆς,
οἳ καὶ σκηπτροφόρων προβεβήκεσαν ἔξοχον ἀρχῶν
δόξῃ τε πλούτῳ τε καὶ ἰσχύϊ τηλεκρατείρῃ,
τῶν δ' οὐδεὶς μερόπων ὑπὸ μείζονι κυδιάαται

Pōtificij nemini cedūt opibus, delitijs, voluptatibus varijs, In quib. ferè locis sint constituta domicilia Pontificiorum.

χάρματι, μηδεὶς τόσσον ὑπερνεφέεσσιν ἐρωαῖς
φυσιάᾳ, πάσαν δὴ τρυφὴν καὶ τέρψιν ἔχουσι.
καὶ γὰρ ὅπῃ τέτανται πολυπίδακος ἄγκεα βήσσης
ἥντινα γυρώσαντο πέριξ λειμωνίδες ἀκταί,
ἡδὺ δὲ μὶν κελάρυσμα διαυγέϊ ῥεύματι τέμνει,
μεσσόθι πηγαίων προκυλινδόμενον παρὰ κόλπων
ὑδροτόκων, καὶ ὅπῃ νεπόδων παίζουσι γενέθλα
ἀργυρέου ποταμοῖο κατὰ πτύχας, ἐν δὲ ῥεέθροις
κοιλόρριζον ἔδυνον ὑπὸ στύπον ἔνθα καὶ ἔνθα
καρκίνοι ὀκτάποδαι λοχίης κεχαρηότες εὐναῖς,
ἦχι νάπαι θάλλουσι ποριστάδον, ἦχι κολῶναι
πυροφόροι γελάασι καὶ εὐγείοισιν ἀλωαῖς
οἰνοτόκων βλάστησε φυτῶν εὐάμπελος ὕλη·
αὐτόθι φωλεύοντες ἑὰς κατέθεντο καλιὰς
τὸ πλέον, εὐδείπνοισιν ὑποστείνοντες ἐδωδαῖς,
καὶ λύσσαν βούβρωστιν ἀναιδέϊ γαστρὶ φέροντες.
* ἀλλαίνυ τοῦτο τί θαῦμα; τί τῶν πέρι πολλὰ πιφαύσκω;

*Etiam Monachi, qui mēdicātes dicebantur tamen abūdabant omnibus necessarijs.

πτωχικοὶ οἱ μόναχοι φοιτήτορες ἀλλοπρόσαλλοι
τοσσάτιον συνάγειρον, ὅθεν καὶ ἀεργέος αἰεὶ
μαργοσύνης καὶ ἄλλης τρυφερῆς ἀπονάιατο φορβῆς.

a Octauum Decalogi præceptum quo loco Papa habuerit.

a γλώσσῃ ψευδαλέῃ δ᾽ ἐπιμάρτυρον αἰσχρὸν ἰωκὴν
πολλάκις αὐτὸς ἔειπε καὶ εἰπέμεν ἤθελεν ἄλλους
αἱρέσεως τὰ μάλιστα καταντίον ἀπιδιωτῶν.

b Hereticis nulla præstāda fides.

b τούτοις γὰρ σπονδάς τε καὶ ὅρκια πιστὰ τελέσσαι
οὐ θεμιτὸν φθογγῇ φλυαρώδεος ἔκραγε λαιμοῦ,
ὅττι κεν ἐκφανέρωσεν ἑῷ χαλεπόφρονι θυμῷ.

c Joannes Hus. cū M. Hieronymo de Praga, exēmplū insigne perfidiæ Pōtificiæ.

c Χούσιος οὗτε πυρὸς κατετήκετο θεῖος ἀϋτμῇ,
πιστὸν ἑταῖρον ἔχων ἱερώνυμον ἐμπεδόμαρτυν,
ὅν τινα ποικιλόπυργος εὔσπορος ἔτρεφε Πράγη,
κείνου καὶ κατ᾽ ἄεθλα θεμιστοπόλοιο μελάθρου
ἀργυρέου καλέοντος, ὅπερ πέλε καμπύλον αὔτως,

d Dicasterion Papale quale sit

d αἰτίκ᾽ ἀνέδραμεν ἰθὺ πρὸς αἰθέρα μύστιδι τέχνῃ,
ῥίμφα δὲ κάμπτεται αὖσα. καὶ ἄργυφον ὅττι περ ἤδη
μαρμαρυγὴν πέμπεσκεν, ἄφαρ κυανόστολον εὖροι
ἀμπέχοιον, τὸ δ᾽ ἄρ ἀσβολόεν λευκόχροον αὖθις
λώπην ἀμφιβάλοι στίλβοι τ᾽ ἐρασκύοει χροιῇ.

e Quid Papa sentiat de nono & decimo pręceptis Decalogi. cui concupiscētia non est peccatum, cui non diligere non timere Deū adiaphora sunt.

ὅστις γοῦν δωρεαῖς μειλίξατο λοξοδικαστὰς,
ὃς χρυσὸν πομπῆα καὶ ἄργυρον ἔλλαχε πειθώ,
τούτῳ πᾶν κατὰ θυμὸν ἐλεύθερόν ἐστιν ἀνύσσαι,
τόνδε δίκη σπανίως ἐς ἀηθέα χῶρον ἱκάνει,
εἰ μὴ χρυσοδερόμοισι παρασπέρχησι κυλίνδροις,
λειποπόνων οἴων γὰρ ὁ παμβόρος οὐκ ἀλεγίζει
κύκλων χρυσοπόνων περικήδεται ἔξοχα μήλων.
e οὐ πόθον ἀλλοτρίων κακοεργασίης ἐν ἀριθμῷ
πέφραδεν. ἀμφὶ θεοῦ δὲ καὶ ἀχετότολμον ἀδείην

καὶ

καὶ φυγέειν βασιλῆα βιοτρόφον ἠδ' ἀπιθῆσαι,
ἰσοτέλεστα πέλειν ἀδιαφορὰ προσηκὸς ἔολπε,
οὕνεκεν ἐκτοτέροισιν ἐπ' ἔργμασι νοῦ μάτα κεῖται
θεσμοσύνης, οὐδὲ κραδίης ὁρμήματα ζητεῖ
ἐνδομύχης, ἀγαθουργὸν ὅτι βροτὸν ἀμφαγαπάζει
θεσμὸς ἐρυξίκακος καὶ χριστοφίλου δίχα πειθοῦς.
τοὔνεκα σφωϊτέρων παππᾶς ἐκέλευσεν ἐφετμῶν
δουλοσύνην τελέειν, καὶ ἑοῖς τεθμοῖσιν ὑπείκειν
πάντας, ὅσοι φρεσὶ φίλτρον ἀλωφήτοιο βιώνης
ἔμπεδον ἤρξησαν. ἐπεὶ πολὺ μᾶλλον ὁμοκλὰς
οἰκιδίους ὕψωσε θεογλυφέος ὕπερ αὐδῆς.
ὧδε γὰρ ὧδε, φρύαξε, περιφραδὲς ἴχνος ἐποίγοις
μήπω ὑπερβαίης, καὶ ἐμὸν νόον ἐξοροθύνῃς,
εἰμὶ γὰρ εἰμὶ γὰρ αὐτὸς ἐγὼ σέθεν ὑψικράτης ζεύς,
δειμύνοτον βαρύμηνιν ἔχων ζηλήμονα θυμόν,
τὴν δὲ κακοτροπίην τοκέων ἐπὶ παισὶ δικάσας
τιμὴν τ' ἀρνύμενος τριτάτης τετράτης τε γενέθλης
πρὸς γόνου ἀνθρώπων, οἵ ἐμ' ἐχθοδόπησαν ἀεικῶς·
οἰκτροσύνην δ' νέμων ἐπὶ χίλια πρόφρονι θυμῷ
πᾶσιν, ὅσοι φιλέουσιν ἐμὰς τελέουσι τ' ἐφετμάς.
φεῦ φεῦ ὡς βαρύποινος ἀνάρσιον ἠπεραπεύτην
ἤματος ὑστατίοιο μενεῖ κρίσις, ὅττι θεόνπερ
θνητοὺς τ' ἐξεγέλασσε κατηφείῃσιν ἀτίζων
καὶ μελέους ῥίγιστα κακοῖς ὑβρίσμασι δάπτων,
σμικρύνοντε νόμου φοβερὰς ἐπὶ τόσον ἀπειλάς,
οὗ τινος ἔμπαγε μικροτάτη μερὶς ἐστὶ βαρίων
αἰθέρος ἠδ' αἴης. μία γὰρ θεσμοῖο κεραίη
παμφθιμένων ἀπονητὶ βροτῶν γένος ἐξεναρίξαι,

Docet, q… opera legis sine fide fa…cta Deo tamen placeant.

Acrius vr…serunt Pon…tificij obseruationē traditionū Papalium, quam man…datorū Dei

Papa Dei risit & homines, di… adeo exte…nuat legē Dei, cuiu… tamē vnu… apex maio… & pōderosior est cœlo ac terra

a Altera pars Catechismi, Symbolum Apostolorum siue fidei, vbi lege perterritis & damnatis mõstrantur auxilium & remedium

b Primus articulus symboli, de Creatione.

c Secundus articulus de Redemptione.

a εἰ μὴ μεσσολαβοῦσαν ἄναξ δείξειεν ἀρωγὴν,
δευτέρῃ ἐν διδαχῆφι κατηχισμοῖο πορίζων
ἄλκαρ ἀλεξικεραυνὸν ἀεισόα σύμβολα πειθοῦς,
ὅσσα συνέρραψαν λογάδες χριστοῖο μαθηταὶ
καὶ τόνοισι σοφῶς συνετεκτήναντο θρόοισιν:
b πείθομαι εἰς γενετῆρα μέγαν θεὸν ὑψιγένεθλον,
πανδυνάτον, γαίης ἀρχέσπορον, αἰθεροπλάστην:
εἰς τε θεότοκον υἱὸν ἀκαμπέα πίστιν ἀέξω,
c μουνολόχευτον ἄνακτα φιλεύορα χριστὸν ἰησοῦν,
ὅσκεν ἀνοιδαίνουσαν ἔδυ κατὰ γαστέρα κούρης,
πνεύματος ἐργασίῃ θεοαέος, ἐκ μαρίης δὲ
παρθενικῆς βρέφος ἦλθεν ἐς ἀλαοφεγγέα κόσμον
σεμνοτόκοις ὠδῖσιν, ἐλεύθερος ἀμπλακιάων,
πικρὰ δ' ὑπαὶ πιλάτου σκολιόφρονος ἄλγεα πάσχων,
ἠλώθη σταυροῖο τανυγλώχινος ὀϊστοῖς,
ἦχι θανὼν κτερέϊστο χυτῇ χθονί. τῇδε τριταίῃ,
ὀρθροδρόμοις ὅτε φοῖβος ἀν' οὐρανὸν ἔτρεχεν ἵπποις,
νεκρὸς ἀειζώων πετρώδεα λεῖπε χαμεύνην,
καὶ νεκυοστασίην καὶ ἀλήμονα κόσμον ἐάσας,
οὐρανὸν εἰσανέβησεν, ὅπῃ γενετῆρι κρατίστῳ
δεξιὸς ἀστράπτει κεκλιμένος ἠθάδι θώκῳ,
ἔνθεν ἐλεύσεται ἄμμι παλίντροπος ὀψικέλευθος,
εἰς κρίσιν ἐλκύσσων νηψευδέα πασιδίκαστον
ζωοὺς καὶ κνώσσοντας ὑπὸ χθονὸς ἔνδοθι τύμβων:

Tertius articulus de Sanctificatione.

πιστεύω δὲ καὶ αὐτὸς ἐς ἀρχεσίφωτον ἀήτην,
πατρὸς ἀποπροθορόντα καὶ υἱέος ἀνδροθέοιο.
οἶδα καὶ ἀπλανέων χριστοσεβέων χορὸν ἀνδρῶν,
ᾧ ἔνι κοινὰ πέλει τὰ λειτουργικὰ πνεύματος ἔργα

ἀλλὰ καὶ ἀγνάμπτοισιν ὑπὸ φρεσὶν εἰμὶ πεποιθὼς
ὡς χρόνος ἔρχεται οὗτος, ἀολλέες ὁππότε νεκροὶ
ῥηξιτάφων ἀΐοντες ἐγερσινόων ἀλαλαγμῶν,
εἰς φάος ἀΐξουσι παλινζώῳ τινὶ παλμῷ,
ζωῆς δ' οὐ μινύθουσαν ἀτέρμονα νύσσαν ἀμείβων
ὠκύμορον μετὰ φέγγος ἐλίσσεται ἔμπεδος αἰών.
ταύτῃ δ' ἄρ καὶ θεοσὶ φίλοις μέγα δῶκεν ὄνειαρ — Symbolu
νικαίη σύνοδος, καὶ ἀκινδυνόφρονι θυμῷ — Nicenũ &
πουλυαγαστὸς ἀνὴρ ὁ ἀληθείης κελαδεινὴ — Athanasi
σάλπιγξ, ἐκπροχέουσα λιγύθροον εὔκροτον ἠχώ, — expositio
φωστὴρ τε σπινθῆρας ἀνὰ χθόνα πᾶσαν ἰάλλων, — Symboli
ὅς ποτ' ἐπίσκοπον εἶχε γέρας θεοεργέος αὐλῆς — Apostoli
κἀππόλιν ἠϋθέμεθλον ἀλεξανδρηΐδ' ἐούσης,
ἄμφω γὰρ σύνοδός τε καὶ ὁ κλυτὸς ἠπιοποιμὴν
ῥυθμὸν ἀποστολικοῖο παχέστερον ἐκκορύφωσαν — Verba Sy
συμβόλου. ὧδε γὰρ ὡμολόγει νικαῖος ὅμιλος: — boli Nic
ni.
πίστιος ἀγκαλίδεσσιν ἀκαμπέος ἀμφαγαπάζω — I.
μουνοφυῆ θεὸν οἷον ὑπερμεδέοντα τοκῆα
παγγενέτην, πάντων δυνατὸν καὶ παντοβραβευτὴν,
οὐρανίοιο θρόνου καὶ ὅλου τεχνήμονα κόσμου,
θνητῶν σοφοεργὸν ἀθηητῶν τε τυπωτήν.
πιστοσύνης δ' ἕνα μοῦνον ὁμῷ προσπτύσσομαι ἀρθμῷ, — II.
κοίρανον ἰησοῦν χριστὸν βασιλῆα κράτιστον,
μουνογενῆ μεγάλοιο θεοῦ γόνον ὑψιγένεθλον,
πατρὸς ἀπεκγεγαῶτα πρὸ αἰώνων συναπάντων:
τὸν θεὸν ἐκ θεόφιν γλυκυφεγγέος ἐκ φάεος φῶς,
καὶ θεὸν αὐτοτέλεστον ἐτήτυμον ἐκ θεοῦ αὐτοῦ,
γεννητὸν κρείοντα καὶ οὐ ποιητὸν ἐόντα.

καὶ

καὶ γενετῆρι φυὴν ὁμοούσιον ὑψιμέδοντι,
τοῦ διὰ πάντ' ἐτέτυκτο τάπερ χάδε κόσμος ἀπείρων.
ὅς ποτε πηλογόνου μογερῆς διὰ φῦλα γενέθλης,
ὄφρα δυηπαθέεσσι φέρῃ χραίσμημα βροτοῖσι,
κάλλιπε πάτριον οὖδας ἀειθαλέθοντος ὀλύμπου
οὐρανόθεν κατιὼν χθαμαλῆς ἐπὶ νῶτον ἀρούρης.
ἠνίκ' ἐσαρκώθη ζαθέου πνοιῇσιν ἀήτου,
κούρης τ' ἐβλάστησεν ἀμεμφέος ἔνθεος ἀνὴρ
ἐκ μαρίης. σταυροῦ δὲ πεπαρμένος αἰλινὰ γόμφοις
ὀξυτόροις, πιλάτου διὰ νεύματα λοξοδικαστοῦ,
πόντιον ὅν καλέουσιν ἐπώνυμον, ἠδ' ὑπὲρ ἡμῶν
ἄχετα πολλὰ παθὼν τοξεύμασιν εἴκαθε μοίρης,
καὶ νέκυς ἐντερέϊστο λιθώδεος ἐνδόθι θήκης,
ἠοῖ δὲ τριτάτῃ παλινάγρετος ἔκθορε τύμβου,
ἄϊδος ἐξ ἀδύτων ἀνυπόστροφον οἶμον ὁδεύων,
οἷα φάτο γλώσσῃ μαντώδεϊ θέσπις ἀοιδὴ
ἐσσομένων δεδαυῖα θεοπρήκτων τέλος ἔργων,
καὶ πόλον εἰσανέβη νίκης περικύδεϊ γαίων,
δεξιάδην ὅθι πατρὶ παρέζεται ὑψιθοώκῳ
ἄφθιτα σκῆπτρα φέρων, ὅθεν ὀψεπόροισι κελεύθοις
νόστιμος ἀπροϊδὴς καταβήσεται ἀγλαόδοξος
εἰς κρίσιν ἰθυθέμιστον ἄγων ὑπὸ κοιλάδι γαίῃ
νήγρετον ὕπνον ἔχοντας ὁμοῦ καὶ ἔτ' ἠελίοιο
ὕστατον εἰσορόωντας ἀμειδέϊ φέγγος ὀπωπῇ.
τοῦ δ' ἄρα κοιρανίη πανατέρμονα νύσσαν ἀμείψει,
ἠνεκέως θάλλουσα δρόμῳ παλιναυξέος ὥρης.
III. πνεῦμα δὲ θεσπέσιον καὶ ὁμόζυγι πίστιος ὁρμῇ
κοίρανον ἀτρεκίης, ὁσίης πομπῆα γεραίρω.

πατρὸς

πατρὸς ὃς ὑιός τε προήγμενος εἰς χθόνα βαίνει
οἷσιν ἰσοκλήρῳ τιμῇ καὶ κύδεϊ λάμπει:
ὅσκε θεοπροπίης ὑποφήτορα βόμβον ἴκλεν
ἀνδρῶν μαντιπόλων στόματος διὰ μητιόεντος.
καὶ μίαν ὀρθοδίδακτον ὁμήγυριν ἐλπίδι πειθοῦς
ἱρὸν ἀποστολικὴν ἀγαπάζομαι, ἐν ᾗ λοετρὸν
φαιδρὸν ἀμερσιρύπου βαπτίσματος οἶδα τετύχθαι
πικρογόνων ἐπέληθον ἐράσμιον ἀμπλακιάων.
καὶ νεκύων τριπόθητον ἀνάστασιν ἔμφρονι θυμῷ
προσδοκόω βιότοιό τ' ἀνέσπερον ἄχρονον ἦμαρ
ἄμμιν ἐπεσσομένου μετὰ λοίσθιον ἠριγένειαν.
οὕτω δ' ἐνθεότολμος ἐπίσκοπος ἐξαγορεύει:
Verba Symboli Athanasij.
ὅστις ὑπὸ πραπίδεσσιν ἔχει πόθον ὑψιμελάθρου
τέμπεα ναιετάειν πανθελγέα φοιβάδος αὐλῆς,
ὀρθόνοον χρέος ἐστὶν ἀμεμφέα πίστιν ὀφέλλειν,
κὴν εἰ μή τις ἕκαστος ἀκήρατον ἶφι φυλάξῃ
ἠνεκές, ἀτρεκέως ἀμετάτροπον οἶτον ὀλεῖται.
ἡδ' ἄρα σωσικύνειρα καὶ ὄρθιος ἔπλετο πειθὼ
ὄφρ' ἕνα θρησκεύωμεν ἐνὶ τριάδ' ὑψιμέδοντα,
καὶ τριάδ' εἰν ἑνότητι σεβώμεθα πρόφρονι θυμῷ,
οὔποτε συγχεύοντες ὑποστασίας τριπροσώπους,
οὐδὲ διακρίνοντες ὅλως ἀμέριστον ἐοῦσαν
οὐσίαν. πατρὸς γὰρ ὑπόστασις ἔνθεος ἄλλη,
ἄλλη δ' ὑιος καὶ πνεύματος ἄλλη ἐτύχθη.
ἀλλὰ μίη θεότης, ξυνὸν σέβας, ἰσοτάλαντος
τῆς μεγαλοπρεπέος συνατέρμονος ἔπλετο δόξη
πατέρος ἠδὲ γόνου καὶ ἀγακλήεντος ἀήτου.
οἷος ἔφυ γενέτης, τοῖος γόνος αἰϊγένεθλος,

τοῖον καὶ πέλε πνεῦμα θεόπνοον ἀτρεκίης φῶς·
ἄκτιστος γενέτης ὃς ἀπείριτον ἔκτισε κόσμον.
ἄκτιστος δὲ γόνος διὰ τοῦ ξυμπάντα πεφύκει
κτίσματα, λαμψίνοον τε φόως ἄκτιστον ὑπάρχει,
πάντα βροτὸν ὅ, τι θεῖον ἑῆς ἀκτῖσιν ἰαίνει.
γεννήτωρ ἀκίχητος ἐτύγχανε καὶ κλυτὸς υἱὸς,
οὐδὲ πέλει κατάληπτος ἀήτης ἀπροτίοπτος.
ἀέναος γενετὴρ, λόγος ἄχρονος, ἀθάνατον πῦρ.
οὐ τριοσοὶ γεγάασιν ὅμως εἷς ἐστὶν ἄναρχος.
ὡς οὐ τρεῖς ἀκίχητοι ἰδ' ἄκτιστοι τελέθουσιν,
εἷς δὲ τίς ἐστιν ἄτυκτος, ἀάχετος, οὐ κατάμαρπτος.
οὕτω καὶ γενέτης δύναμιν λάχε παντοκράτειραν,
πανδύνατον κράτος ἔσχε καὶ ὁ κλυτὸς ὑψίτοκος παῖς,
πνοιῆς τε ζαθέης παντοσθενὲς ἔπλετο κάρτος.
οὐ τρεῖς εἰσὶν ὅμως, εἷς παντοκράτωρ βασιλεύει.
καί τε θεὸς γενετὴρ, θεὸς υἱεὺς ἀρχιγενέθλος,
καὶ θεὸς ἀμβρόσιος φαεσίμβροτός ἐστιν ἀήτης.
οὐκ οὖν τρεῖς γεγάασι θεοὶ, θεὸς οἶος ὑπάρχει.
κοίρανός ἐστι πατὴρ καὶ κοίρανος υἱὸς ἀμήτωρ,
κοίρανος ἐστιν ἄημα θεόσσυτον αἱμυλόβουλον,
ἔμπης οὐ τριοσοὶ βασιλεῖς, εἷς δ' ἐστὶν ἀνάκτωρ.
τοὔνεκεν ὥσπερ ὕπαρξιν ἁγνῆς θεότητος ἑκάστην
εὐχάων θέμις ἐστὶν ὑπουργείῃσι γεραίρειν,
καὶ ταμίην πάντων βασιλεύτατον ἐξονομαίνειν,
οὕτω τρεῖς τε θεοὺς ἢ τριοσοὺς παμβασιλῆας
οὐ πρέπον εὐσεβέεσσιν ἐπιχθονίοισι πιφαύσκειν.
πρωτοφανὴς δὲ πατὴρ παρὰ μηδενὸς οὔποτ' ἐτύχθη,
ἄπλετος, αὐτολόχευτος ἐὼν ἀγένητος, ἄλυπτος.

μουνο

μουνογενὴς παῖς ἐστὶ παρ᾽ ὑψίστοιο τοκῆος
ἄσπετος, οὐ ποιητὸς, ἄτυκτος τ᾽ ἀλλὰ γενητός.
πατρὸς ἀειγενέταο καὶ υἱοῦ σεμνὸς ἀήτης
ἐκπρομολὼν ἄκτιστος ἰδ᾽ οὐ ποιητὸς ὑπάρχει.
τοὔνεκεν εἷς γενέτης οὐ τρεῖς γενετῆρες ἔασιν,
εἷς γόνος ἠϋπάτωρ οὐ τρεῖς υἱῆες ἔασιν,
εἷς ζάθεος πνευστήρ οὐ τρεῖς πνευστῆρες ἔασι.
ταύτῃ δ᾽ ἐν τριάδι πρότερόν τι καὶ ὕστερον οὐδὲν,
οὐδέ τι μικρότερον καὶ φέρτερον οὐδὲν ἐτύχθη.
τρεῖς γὰρ ὑποστάσιες πᾶσαι συνατέρμονος ἀρχῆς
κοιρανίην μεθέπουσιν ὁμήλικα πάντοθεν ἴσην.
οὕτως ὀτραλέως μονάδα τριπρόσωπον ἔοικε
καὶ τριάδ᾽ εἰν ἑνότητι μονοπρέμνῳ θεραπεύειν.
τοὔνεκεν ὅστις ἰδεῖν ποθέει πανακήρατον αἴγλην,
τερπωλῆς τ᾽ ἐπιβῆναι ἐπουρανίης τε γαλήνης.
ἀμφὶ μονοσκήπτρου τριάδος τάδε πιστὰ φρονείτω
ἀλλὰ καὶ ἀρρήκτοισιν ἐν ἤθεσιν ἐστι φυλάττειν,
εἰς χορὸν ἑλδομένῳ θεοσύμβιον εἰσαφικάνειν
σάρκωσιν χριστοῖο κλυτοῦ χραισμήτορος ἀνδρῶν.
ὀρθὴ πειθοσύνη γὰρ πέλει, πυλαωρὸς ὀλύμπου,
πιστεύειν στήθεσσιν ἀσυλήτῳ τινὶ θεσμῷ,
χριστὸν ποικιλόδωρον ἀγακλέα κοίρανον ἡμῶν
παῖδα θεοῦ, βασιλῆα καὶ ἀνέρα καὶ θεὸν εἶναι.
πατρῴης φύσεως γὰρ ἀπόσπορος αὐτοφύτοιο
ἐστὶ θεὸς, κόσμοιο καὶ αἰθέρος ἠδὲ χρόνοιο
πρεσβύτερος προγενέθλος. ἐν ἀχλυόεντι γὰρ κόσμῳ
μητρῴης ἀπὸ σαρκὸς ἀνὴρ λόγος ἐξελοχεύθη.
καὶ θεὸς ἠϋτέλεστος ἔφυ θνητὸς τε τέλειος,

ὕλης

ὕλης ἀνδρομέης μέτοχος λογικοῖό τε ψυχῆς.
ἰφθίμῳ γενέτῃ δὲ βίῃ παῖς ἰσοφαρίζει
αἰδοίην θεότητα, φυὴν δ' ἐχέσαρκον ἐλάσσων
ὀψίγονος βροτόμικτος ἐρισθενέταο τοκῆος.
ἀλλ' εἰ καὶ θεός ἐστι καὶ ἀγλαὸς ἰσόθεος φώς,
οὐ δὺ' ὅμως ἀλλ' εἷς σωσίμβροτος ἔπλετο χριστός.
εἷς πέλεν οὐ θεότητα τραπὼν εἰς σάρκα παχεῖαν,
ἀλλὰ φύσιν βροτέην ποτιδέγμενος εἰς θεότητα.
ἀτρεκὲς εἷς πέλε χριστὸς ἐν ἄζυγι σύζυγι μορφῇ,
οὐσίης οὐ συγχυμένης δισσῆσπερ ἐούσης,
ἀλλ' ἑνότητι προσώπου ἀσημάντῳ τινὶ θεσμῷ.
ὡς γὰρ σῶμα νόος τε φυσίζοος εἷς πέλεν ἀνήρ,
οὕτω σύζυγες ἄμφω ἀνὴρ θεὸς εἷς πέλε χριστὸς,
ὃς χάριν ἀνδρομέοιο βαρυπτώτοιο γενέθλης
πολλ' ἐτάλασσ' ἀνιηρὰ καὶ ἄλγεα πολλὰ πέπονθε,
καὶ πολυκωκύτοιο χάος κατέδυσε βερέθρου,
εἰς δόμον ἠερόεντα κιὼν ἀχερόντιδος αὐλῆς,
καὶ νεκυοστασίην τρίτῳ ἤματι κάλλιπ' ἀναστὰς
νήδυμον οὐ χάλκειον ἐγέρσιμον ὕπνον ἰαύων
ἄφνω δ' εἰς πολύαστρον ἀνέπτατο πέζαν ὀλύμπου,
δεξιὸς ὁππόθι πατρὶ κλυτόθρονος ἑδριάαται.
ἔνθεν ὑποστροφάδην κατελεύσεται ὠκέϊ παλμῷ,
φῦλα βροτῶν πνείοντα καὶ ἄπνοα πάντα δικάζειν,
οἳ τότ' ἀνοιξιτάφοιο βοῇ σάλπιγγος ἰωῇ
πάντες ἀναστήσονται ὑποχθονίων ἀπὸ κόλπων.
πᾶς δέ τις αὐτοπόνων λύγρον ἀμφαδὸν ἐργασιάων
δείξει ἀδωροδόκῳ πραπιδογνώστῃ τε δικαστῇ.
ὅσσοι δ' ἔργα τέλεσσαν ἐναίσιμα πίστιος ὁρμῇ,

μεστοὶ γηθοσύνης θεοχανδέος αὔλιον ἕδρης
ἐμμαπέως δύσουσιν, ὅσοι δ' ἑτερόφρονι λύσσῃ
φαῦλον ἀεθλεύσαντες ἀτασθαλίῃσι πίθοντο
ἀσβέστου τλήσουσι πυρὸς φλόγα πικροβέλεμνον.
τοίη πειθοσύνη πέλεν ὄρθιος ὑψιάνειρα.
ἣν εἰ μὴ χθονίων τὶς ὑπὸ φρεσὶν ᾗσι φυλάξῃ,
οὐ δύναται ζωῆς πρὸς ἀνώδυνον ὅρμον ἱκάνειν,
καὶ χόρον ἀθανάτων αἰώνιον ἀμφιπολεύειν.
* καὶ δὴ καὶ ταύτῃ μάλα χρησιμοεργὸν ὄνησιν
θειοφιλὴς ἀγορὴ κηδέσκετο, παῖδες ἄριστοι,
σύμβολα λαμπρύνουσα τάδε τρία, τῶν περ ἕκαστος
ὅ, ττιγε βούληται στοῖχος, θεομαρπέος ᾠδῆς
ὧδε διαπρυσίοισιν ἄδην ἐπέεσσι λιγαίνει:
πίστιος ἱρὰ θέμεθλα θεῷ περὶ μουνογενέθλῳ
ἡμεῖς εἰν ἑνὶ πάντες ἐρείδομεν, ὅσπερ ὀλύμπου
καὶ γαίης κρηπῖδα φιλοεργεῖ πήγνυε μύθῳ,
ὅς τε καὶ ἑ προὔστησε σοφῇ γεννήτορα βουλῇ,
ἡμέες ὄφρα θεοῖο γενώμεθα τέκνα τοκῆος.
ἐνδυκέως παῖδας δ' ὁ πατὴρ ζωαρκέϊ φορβῇ
βόσκειν ἄμμε πρόπαντας ἐπείγεται ἠδ' ἀτιτάλλειν.
καὶ δέμας ὀρταλέως κομέειν ψυχήν τε φυλάττειν,
δακροφιλοῦς ἀπὸ λυγρὸν ἐρυκανόων κλόνον αἴσης
μήπω ἐριφλοίσβοισιν ἀποψύξωμεν ἀϋταῖς.
ἡμῶν δ' ἐγγὺς ἐὼν μάλα κήδεται ἠδ' ἐλεαίρει.
ἐγρήγορσιν μεθέπων πρὸ ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτί.
πάντα γὰρ σὺν σθενέεσσιν ἄναξ παλάμῃσι βραβεύει.
καὶ δὴ πιστοσύνης ἀγκάζομεν ἄμμιγ' ἀγοστῷ
γνήσιον αὐτοῦ παῖδα, βροτῶν προσποδηγὸν Ἰησοῦν,

* Ode Germanica, quam canit Ecclesia, ac qua incipit:
**Wir gleuben all an einen Gott.**
Plurimum quoq; lucis affert trib. illis Symbolis, Apostolico, Niceno & Athanasiano.

I.

II.



πατρὶ

πατέρι συναστράπτοντα θεοῦ δεῖ σύνθρονον ἕδρῃ,
ἰσοκρατῆ γενετῆρος ὁμήλικος, ἰσοκύδεστον,
ψυχικὸν ὅσκε κύημα λεχωΐδος εἰς φάος ἦλθε
παρθενικῆς Μαρίης, ὑπὸ πνεύματι θεοπροΐκτῳ,
καὶ χάριν ἡμείων ἀΐδου γενύεσσι δεθέντων
σταυροτύπου θανάτοιο βιοσφόρον οἶτον ἔπεσπε,
νόστιμος ἐκ νεκύων δ' ἀνεπήλατο φαιδρὸς ἀναστάς
ἠὼς οὖτε τελαῖος ἀεικέα κῶνον ὁμίχλης
ἠδυρόδῳ αὐινθῆει διέσχισεν ὄρθρον ἄγουσα
τετρώρῳ πυρόεντι, φίλον τῷ ἐπ' ἦμαρ ὀπηδεῖ.
III. πίστει δ' αὖ φερόμεσθα καὶ εἰς πυρίμορφον ἀήτην
ἰσοφυῆ πατρός τε καὶ υἱέος ἡγεμονῆα,
ὅσπερ ὀδυρομένοισι παρηγόρον ἐλπίδ' ἀνάπτει·
χάρμασι δ' εὐφραίνων σφέας ἀγλαΐῃσι πελάζει
ἀλλά γε δὴ χριστοῦ νηὸς ἀῤῥυτίδωτος ἐχέφρων
ἐν χθονὶ παγγενέτῃ πολυφίλτατος ἱρὸς ὅμιλος
πιστῶθη γνώμῃσιν ὁμοζήλοιο μενοινῆς,
δυσνομίην ξύμπασαν ἐπὶ χθονὶ τῇδ' ἀφίεσθαι.
καὶ ποτ' ἀναζήσει παλινάγρετος ἡμετέρη σάρξ·
ὅττι μετὰ στοναχὰς πυκινὰς βιότοιο ῥέοντος
ἡμῖν πειθομένοισι θεὸς πυκιμήδει λαχμῷ
γηθοσύνην πορσάτωσγν ἀτειρέα τ' ὀψακόρεστον
* ὡς δ' ἄρ ἐπεσσομένους ἐπιπολλὸν ἔμελλον ὀνήσειν
δώδεκα σαλπιγκτῆρες ἐπαγγελικοῖο θρόοιο,
νικαίη σύνοδός τε, καὶ ἀρητὴς μεγάτολμος,
νύμφη τε χριστοῖο λογότροφος, ἧς ἐνὶ κόλπῳ,
ἠΰτε νήπια τέκνα γλυκυστόργοιο τιθήνης,
θαλπόμενοι τρεφόμεσθα τεθηλότες εὐσεβίῃφι.

**Quemadmodũ Apostoli, Synodus Nicena, Athanasius, studuerunt suis Symbolis prodesse ecclesiæ, ita Pōtifex cōtra cũ suis Satellitib. certitudinem eorũ uellere nititur.*

ὡς ὁ βαρβαρόλουθος ἀπόπροθι χάζετο δαίμων.
χωόμενος δ' ὀλοφυδνὸν ἐμήσατο κήδεα θνητοῖς
λυγρὰ μάλ', οὕνεκα τὴν δὲ βεβαιοτάτην περ ἐοῦσαν
συμβολικὴν σφριγίδα ποτιπροσύνδεσιν ἰάψαι
σφωϊτέρων δ' ἀσπαστὰ διὰ ξυνεσίην θεραπόντων,
εἴτε χαλίφρονα μή τιν' ὑπὸ φρεσὶ λοξοδόμευον,
θεσμὰ διδασκαλίης τ' ἀντίβρομα συμβολικοῖο
δόγματος ὠδίνοντες ὑποκρισίῃσι πίθοντο.
a παππᾶς μὲν σφετέροις σὺν ἀμορβάσιν ἐστὶ πεποιθὼς
ἀρχῷ παμμεδέουσαν ἀμήρυτον ἰσχὺν ἔχοντι,
ἀλλ' ἔμπης πάνταρχον ἀναίνεται οἶον ἀπ' ἄλλων
παγκρατὲς ὕψος ἔχειν, ὅτι καὶ πρέσβηες ἔωσι
κύδεϊ λαμπόμενοι καὶ ἀμεμφέϊ θεοσεβείῃ,
b αὐτὸς ὁμῶς καὶ δοξυμανεῖς ἐρίηρες ἑταῖροι.
καρτοσύνῃ δ' ἡ θοῇ κεκορυθμένα κτίσματα πολλὰ
ψευδολογεῖ, θεῖον γὰρ ἔφη σθένος ὑδατοέσσῃς
ἔμμεναι ἐν ῥανίδεσσι, καὶ ἐν ἁλί, κηροτρόφοις τε
λαμπάσι, καὶ κήλοισι, καὶ ἄνθεσι, καὶ πυρὸς ἀτμῇ,
ὅσσα περ εὐφήμησε καὶ ἧς σέμνυνε λιτῇσιν.
c κύμβαλα βαπτισθέντα δ' ἄχειν μένος ἱρὸν ἔφασκεν
οἷσιν ἐπωνυμίας βρεφέων ἐνέθηκε λοέσσας
μύστιδι βαπτισμοῖο χύσει. λοεσίμβροτον ὕδωρ
ὡσεὶ χαλκοχύτοις σείστροις, μυσὶ τρωγλοδύταις τε
βουσί τε καὶ χοίροισιν ἀποσμήξειν ὀφειλάς.
d καὶ γὰρ ἐπὶ κροτάλοις ἐνίοις ἐγγλυπτὸς ἰωὴ
δίστιχος ἴαχε τοῖα λατινίδι ῥήματα φωνῇ:
κέκλημαι μαρίη βόμβῳ κλάζουσα κεραυνοὺς
σχέτλι' ἐρυκανόω, κακοδαίμονας ἐκφυγαδεύω.

a Symbolicum Papisticum & fides Pōtificiorum.
b Papa nō Deo soli omnipotentiā, sed sibi etiā suis & multis creaturis, magnā potentiā adscribit sali, aquæ, igni candelis cōsecratis.
c Campanæ baptizabātur, nomina etiā indebantur.
d In quibusdā campanis hoc distichon legebatur inscriptū: Dicor ego Maria confringo tonitrua pulsu, pello nociua, fugo cadē cacodæmonas omnes

Filiū Dei omni ho- nore spo- liat, nā de de in i- sum nihil pse intelli it, nihilq; ocet alios

a τιμῆς δ' αὖ θεότευκτον ἀνάκτορα σεῖο ἄμερσε
ξυμπάσης, ἀβακὴς ὅτι χριστοφιλήμονος οὐδὲν
πίστιος ἀμφ' ἐδίδαξε καὶ ἀγνοίης πὲρ ἐκείνης
πιστιλιπὲς ὅλον ἔθνος ἀπεπλημμύρεεν ὁμαρτῇ
b εἰδωλοσεβέων θυέων ῥωμαΐδος αὐλῆς.
μᾶλλον δὲ ψυχῆς παυστήριον ἄλλυδις ἄνδρας
μαστεύειν ἐπέπειγεν ἢ ἐν ἐλεητύϊ χριστοῦ.

Ignora- o iustitię, dei fons st vniuersę dol oma- ias Ponti ciæ.

ἔνθεν ἄτ' ἀενάου κρήνης ἄπο τόσσαι ἔβλυσαν
c μοιράων σταθμῶν τε πολυσχιδέος βασιλείης
τάξιες, αἳ στήθεσιν ὁμοφρονέουσιν ἅπασαι
ἀντίπαλον χριστοῖο θεοστυγὲς ἀμφεκύσαντο
αὐσονίοιο πέλωρ δαπέδου φονογηθέα παππᾶν.

Ordines c gradus egni Pon ficij.

d πίδακος ἐκ τούτου δὲ καὶ ἀψαύστων ποτὲ δείπνων
ἀρχεσίη κελαρίζεν ἀπημοσύνη τε λύσις τε
λωβάων, ἀνομοῦντες ὅσην πριάσαντο, βαλόντες
ἀργύρεον μονάχοισι, καὶ ἤκμασε δρηστοσύνης ἴς
κεῖθεν ὀρουσαμένη παπποσπονδῶν τελετάων,

Abstinen a certis ieb. à cer- s cibis. In ulgentiæ edemtæ erta pecu- ia.

e κεῖθεν ὁδοιπορίαι πολυειδέες αἰολόμοχθοι,
ἀνέρες οἰστρήσαντες ὅπη φοιτήτορι ταρσῷ
νηοὺς ἐναγέων μετεκίαθον ἢ φονοχάρτου
εἰς ἀμάρην σατανᾶο βαρύπνοον ἄφρονα ῥώμην
ἔδραμον, ἢ πτολίεθρον ἐπέστιχον ἱεροσολύμων,
ἠὲ καὶ ἱσπανίης ἐνὶ κομποστελλίδι κώμῃ
θεῖον ἰάκωβον παρεληλυθον, ἧ ῥά νυ δαίμων
ἐνμενέειν φιλέεσκε πολὺ πλέον αὐτόθι θνητοῖς,
ἢ χώροις ἄλλοισι. καὶ ἀμπλάκας αὐσονικῶν
μᾶλλον ἐπευχομένοισι φιλήκοον οὖας ἄριστος
κλῖνε πατὴρ ἢ ἀνὰ τριόδους γερμανίδος αἴης.

Peregrina ones ad anctos, ꝙ eus in I- alia aut Hispania itiùs exau iret pre- es, quàm n Germa- ia.

ἐν δ'

ἐκ δ' ἀγνωμοσύνης τῆς πίστιος οἰοσόοιο
τῆμος ἀνερροίζησεν ὁμοῦ κρουνισμα βάθιστον
λοιβάων κτερέων τε, τά τε φθιμένοισι γένοντο,
οὐκ ἄρα προῖκα γένοντο· παρουσέων δ' ἀργυρίου μνῶν.
παντοίης κακίης δὲ καθάρματα ῥίψεν ἀήτου
ληθαίης στροφάλιγξιν, ὅτε βροτὸς ἀμπλακόφυρτος
κῆρι δαμεὶς τύμβοιο κυρήσατο νεκροδόκοιο
μιτρωθεὶς ὀθόναις μοναχοσκεπέος ἑανοῖο,
οὐδ' ὅλον εἰκαίῃσι δὲ τὸν δέμας εἶχε κυβείαις,
ὃν τρόπον ἐκτορέεσθεν ἀνάκτορες ὑψιτράχηλοι
δηθάκις, ἡγεμόνες τε καὶ εὐμαθέων στίχες ἀνδρῶν.
οἵ τε περ ὕστατον οὐδὸν ὑπερπλώσαντες ἀνιγροῦ
τοῦδε βίου τάχα μουναχικοῦ χλαίνωμα προσώπου
δῦσαν, ὃ φραγκίσκειον ἐφημίσαντο κόκολλον.
τῇ τε γὰρ ἐλπίζοντο κακοπραγίης πάνυ πάσης
βρῖθος ἀποσσείειν, νεοπλαστοφυεῖς ἅτε λουτροῦ
ζωοτόκοις λιβάδεσσι διαρρυτοί. ἐν γὰρ ἐκείνῃ
ἐσθῆτι πεύσαντο φανήμεναι αὐτὰ θεοῖο,
καίπερ ἅπασα δίηκτο δίχα χριστοῖο βιώνη,
σύνδρομος αἰσχύνῃσι καὶ ἐντραπέλοισιν ἐρωαῖς.
τίπτε γὰρ ἐν νεφέεσσι θεοκλέπτου σκοτομαίνης
τοσσατίοις, βελίῃ χαλεπὸν καὶ ἀνελκύτον εἴη;
τίπτ' οὐ πηλογόνους σατανᾶς πείσειεν ἀλήτας
ἀχλύϊ τοσσατίης ὑποτυφλωθέντας ὁμίχλης;
a ἐν δὲ κενοπρήκτων τελετῶν τελέθουσιν ἀριθμῷ
ὄργια ποικιλόκοσμα θεήματά τ' κλεοδείκτων
ὀρτάων, παππᾶο τελειομένων ὑπ' ἐρίθοις.
ἦχι φαεινότερον καὶ θαυμαλεώτερον οὐδὲν

Exequiæ, quæ mortuis fiebāt.

Sepeliri in cucullo monastico abolebat sordes omniū peccatorū.

a Ex ignoratione iusticiæ fidei orta etiam est sumtuosa & pomposa Festorum celebratio.
b Festū corporis Christi.

ἔδρακε κόσμος ἄκοσμος, ἢ αἰολόπομπον ἑορτὴν
Χριστοῦ ἐπωνυμίην δέματος ζαθέοιο φέρουσαν.
θεῖον ὅπη κομίσαντες ὑπ᾽ ἀρρήτῳ τινὶ πομπῇ
ἄρτον ἀνά τε πεδόδους τε καὶ αὖ φυτοβηλέας ἀγροὺς
ἱρέες ἀμφεφόρησαν, ὁμιλαδὸν ἔνθα καὶ ἔνθα
ἀνδρῶν συμμιγέων νεφελάων ἑσπομενάων.
ἔργματα μὲν τοιαῦτα, καὶ εἰ τετελεσμένα φροῦδον
νόσφιν ἐφετμοσύνης θείης λιπόπιστα πάμπαν,
οἶδεν ὁμῶς πετάσαι μεγάλου βαλβῖδας ὀλύμπου,
ὅσαπερ ἀσφαλέως πονέειν λαοῖς ἐπέτελλον
a μουναχοὶ οὓς κικλήσκομεν ἐπωνυμίην ἀγοραίους,
οὕνεκεν εἰν ἀγορῇσι λόγου κήρυκες ἔασι
τολμηροί, βλακικοί, κυνοθαρσέες, αἰσυλόφωνοι,
κίονες ἠδὲ στῦλοι στιβαροὶ παππώϊδος αὐλῆς,
οὐδὲν ἀλευάμενοι ψευδόθροον ὅρκον ὀμῶσαι,
ψεύδεα συρράψαι τε φίλης χάριν ἡγεμονείης.
b ταύτης δὲ πλανέων πηγῆς κρουνηδὸν ὄρουσε
σπονδὴ τὴν καλέουσι λατινιδὶ μίσσαν ἰωῇ.
φλαυρισμὸς δέ τις ἐστὶν ἀνεξήγητος ἀρίστης
θοινοσύνης, κὴν χριστὸς ἐπιχθονίοισιν ὀφέλλει.
ἐστὶ δὲ καὶ μέγ᾽ ἔρεισμα τυφωϊάδος βασιλείης
ἡ μίσση, δοκέουσα προγεννήτειρα γαλήνης
ἀενάου, θνητοῖσιν ὁμοῦ ζωοῖς τ᾽ ἀνόοισι
κτίσμασί τε ξύμπασιν, ὅσ᾽ ἥλιος ἀμφιδέδορκε,
ἐστὶ καὶ αὐξιβίοις προπολεύμασιν ἔμμορος αὐτή,
εἰ καὶ μηδὲν που παππολατρίεσσιν ἑταίροις
πρῆγμα πάλαι τετέλεστο, τό μὴ μέρος οἶδεν ἀέξειν
ζωῆς ἀμβροσίης, ὅτι τέθμιον ἦεν ἄαπτον

οὐρανὸν

a Monachi, qui prædicatorij dicebantur, columna, tutelaq; imperij Pontificij mirificè prædicabant populo cũcta opera Papalia, vt meritoria.

b Separatim Missæ neruus, robur & basis regni Pontificij, ex hoc errorũ fonte erupit.

οὐρανὸν ἡμετέραις ἐπιμίσθιον ἐν πραγίῃσιν
ἔμμεναι, οὐ τόπος ἐστὶ λελειμμένος ἐλπίδι πειθοῦς,
οὐχ ὅλον ἐκδίδοται κλέος οὐρανόπαιδι λυτρωτῇ
οὐδ' ἐλεοσπλάγχνοιο μόνον τὸ χάρισμα τοκῆος
ὑψοῦται περίαλλα τελειοτάτοισιν ἐπαίνοις.
μίσσαν δ' ὃς διέπῃσιν, ἢ εὐσεβὲς οὖας ἐπίσχῃ
ἐρδομένῃ, θεόθεν βαθυκερδέος ἔμμορεν ἐσθλοῦ.
ὃς δ' ὄπα μηδεμίην ἀβακήμονι προϊκὸς ἀκουῇ
συλλήψῃ, μηδ' ἦχον ἐνὶ στήθεσιν ἰάλλων
ἱροδόμοις ἀνόητος ἐνισταίῃσι μελάθροις,
δηξινόου κἀκεῖνος ἁμαρτάδος εὗρεν ἄκεσμα,
καὶ θρασὺς αὐτοπόνου διὰ πλήγματος ὄγκον ἀείρει.
ἀλλὰ καὶ ἢν προτάλων χαλκηχέα βομβάδα κλαγγὴν
μίσσης ἐσσομένης σημήϊον ὀξὺς ἀκούῃς.
ἔμπης ἀγχιδραμεῖν τε καὶ ἐνίον ἀκροάασθαι
ἱρὸν ἀσθενέης, καὶ ὅμως θυσίῃσι παρεῖναι
ἰσχανάᾳς μυχάτῃ κραδίης φρενὶ, φάρμακα ψυχῆς
ποικίλα καὶ κακίης ἀλκτήριον εὐθὺς ἔτετμες.
οὕτως ἔνθεα δεῖπνα φερέσβια παππομαθηταῖς
πάντοθι ζωοφόρους ἀγαθουργείας ἐπένειμεν,
πᾶσα δὲ σώσιμος ἐλπὶς ἐπὶ σπονδῇσι πέπηκτο
κίνδυνον κατὰ πάντα. τί μοι θεὸς ἔθνος ἄρειον
ἢ ἔτι λαμπρότερον τηλεπέεις κατ' ἀπείρονα κόσμον;
πῆμα δ' ἀίονται σφισὶν οὐδὲ ἐν ἀντιβολήσειν
ἤμασιν ἐν κείνοισιν, ὅσοις λιτανεύματα μίσσης
πρωῒ σφωϊτέρῃσιν ὑπεγκανάχησεν ἀκουαῖς,
ἢ ὅτε τηλεπόροισι πονήματα νήπια μίσσης
βλέμμασιν ἐσκοπίαζον, ἐπεὶ λόγος οὗτος ἀληθής,

Fidei nullus locus relictus, neque quidquam honoris datũ Christo, cũ Missa salutem contulerit nõ modò hominibus, sed animantib. etiam & creaturis cæteris.

Quid possit Missa, ordine commemoratur & exponitur.

μοῦσα τὸν ἡμετέρη προτέρῃ διελήλυθε φωνῇ,
οὕνεκεν οὐ στιβαροῖσιν ἐπυργώθεντο θεμέθλοις
πειθοῦς χριστοδόκου ζωαρκέος, ἀλλ' ἐφ' ἑαυτοῖς
ἔργοις τ' οὐνομάτοισιν ἐπιστώσαντο μενοινὴν,
δυσσεβίης μεθύοντες ἀπιστονόοιό τε λύσσης.
οὐρανίου πυλεῶνας ἀναπτύξασα μελάθρου
ἡ μούση ψυχὰς ἀνεσείρασεν ἀΐδος ἐντὸς,
ζωγρεύει νόσους τε καὶ ἀρρωστήματα παύει,
γῆθος ἐπιστάζει δὲ καὶ οἰκτιρμοῖσι πυκάζει,
καὶ θεὸν ἱλάσκουσα χαρίζεται ἀστρόεντος
οὐρανὸν οὐλύμποιο καὶ ἐκ πυρὸς ὦκα σαώζει
λείψανα λωβάων τάπερ ἐκ χροὸς οἶδε καθαίρειν.
εὐφραίνει δὲ νόους κεκαφηότας ἐκ κονίης τε
αἰωρεῖ παλίνορσον. ἀπηνέας ἐξαλαπάζει
δαίμονας ἐγκρατέως τε κακότροπον οἶστρον ἀλάλκει.
αἰθέρος ἐκπροκαλεῖ δὲ καὶ ἔμπαλιν εἰς πόλον ἵζει
τρισσοφαοῦς θεότητος ὑποδρηστῆρας ἀγαυοὺς,
ξείνους δὲ σκεπάουσα κατὰ χθόνα πᾶσαν ὀπηδεῖ,
καὶ δὴ ἀελλομόθοισιν ἐν ὕδασι νῆας ἀτειρεῖς
ὅρμον ἐφ' ἡδυγάληνον ἄγει καὶ καρποφόροισιν
εὔσταχυων ἐν πεδίοισι τόκον ζαθέοιο θερισμοῦ
ὠδίνει, φραδίῃσι προασαΐζουσα γεωργοὺς.
πάντα δ' ἐπολβίζει φιλοκερδέϊ στήθεος ὁρμῇ
εἰς ἄφενον σπεύδοντα, καὶ ἀνδράσιν εὖγε προσάπτειν
νύμφας κουριδίας τε, καὶ ἔμπαλιν ὄμπνια μούση
εἰς λέχος ἄνδρα ποθεινὸν ἐνήνοχε πολλάκι νύμφης
(πιστεύειν ἐπέοικε καὶ οὐ φρεσὶν ἀντιβιδαίνειν,
καίπερ ἔην ψεύδη φανερώτερα φοιβάδος αἴγλης)

νείκεα

νείκεα δ' εὐνάζουσα μάχας πολέμους τε νομεύει,
εὐτυχίῃ, καὶ σταφυλὰς δὲ καὶ ὄμφακας ἶφι φυλάττει.
πρὸς δ' ἔτι θηροσύνῃσι βουλομένους κύνας τε
εἰς δρόμον ὀτρύνουσα βοώτορον αἰολόθηρον,
ἀμφὶ λινορραφέεσσιν ἐν ἄρκυσιν ἔμπλειον ἄγρην,
πρηΰνειν δ' ὑπέροπλον ὀδυσσαμένων χόλον ἀρχῶν
δυσμενίας τε λύειν καὶ ἐρωμανέεσσιν ἀρήγειν
αἰζηοῖς δεδαήκειν, ὅπως Κύπριν αἰνοπόθητον
μοιχιδίῳ τὰ τάχιστα περιπλέξωσιν ἀγοστῷ,
καὶ κλοπέες βλεφάρωσιν ἀεικέα πυρσὸν ἔρωτος,
λοίγια θηλύνει χαλίμης κακὰ φάρμακα γραίης
μίοσῃ, μητροπόλῳ δὲ βραχίονι κέντρα γυναιξὶ
λειαίνει τοκετοῖο, καὶ εἰς φάος ἔμβρυον ἕλκει.
εὐοδίῃ δὲ βροτῶν πάντας καμάτους ταμιεύει,
καὶ χάριν ἀμφιχέει λιτανεύμασιν, ὄφρα πορεῖν
ὑψιβατῆ πολεόντα θεοῦ περόωσιν ἀκουὴν,
πεπταμένην, κιχέωσι θ' ὅπερ ποθέεσκον ἑλέσθαι
καὶ νύκτερον εἰροπόκων λύκον ἅρπαγα πώεσι μήλων
ἴσχει, καὶ λοιμὸν προβατοφθόρον ὦκα κεδάζει,
τὰς δ' ἀγέλας ἐπὶ σηκὸν ἀπήμονας αὖθις ἐλαύνει
οὔθασιν οἰδαλέοισιν ἄδην γλάγος ἡδὺ φερούσας.
καί τοι ὁδοιπορίην τόδε καλλιέρημα πρόπασαν
εὐθύνει δολερῶν τε νοήματα δυσμενεόντων
συγχύνει, καὶ ὁμοῦ φαντάσματα νυκτὸς ἀπωθεῖ
λοιμοὺς καὶ λιμοὺς καὶ ἐρίκλονον οἶστρον ἄρηος
μαλθάσσειν δεδάηκε τραπεῖν τ' ἀπὸ τηλόθεν ἀνδρῶν,
εὔδιον ἡ μίοσῃ βιότου τέλος ἐγγυαλίζει.
πολλοὺς δ' αὖ κομιδῇ πολυΐδρις περὶ γάστορας ἀργοὺς

ἀμφιέπει, πολλόν τ' ἐπικάρπιός ἐστιν ἐκείνοις,
οὔτε σκυτοτόμων τεχνύδριον. ἦ ῥά νυ μίσσης
πανδύνατον σθένος ἐστίν, ἐφ' ᾧ σφισιν ἐλπὶς ἐτύχθη.
τοὔνεκεν οὔτε τύχη σφὶν ἀδευκέος ἔμπλεος ὀργῆς
δεινοκότοις γοργωπὸν ὀϊστεύει σέλας ὄσσοις,
αὐτίκ' ἐπιθρώσκουσι θαλύσια φαίδιμα μίσσης.
τοσσάτιον κράτος ἔσχεν ἐν ἔθνεσι νηπιότολμος
πειθώ, ἣ ἀνδρομέοισιν ἐπ' ἔργμασιν ἐλπίδ' ἐρείδει
ζωῆς ἀμβροσίης, τὴν οὐ χρόνος ἀμφιπολεύει.
ἔνθεν ἐπασσύτεροι βωμοὶ ξύμπασιν ἀνέσταν
ἔρκεσιν ἐν ἱεροῖσι. θεοκλυμενῶν δ' ἱερήων
εἰς τόσον ηὔξοντο χοροὶ καὶ τόσσα τέθηλε
σμήνεα μισοπόνων μοναχῶν ἀνὰ φορβάδα γαῖαν,
οἷσι βίος κρέμαται μίσσης ἀπὸ μισθοτοκείης.
λαῶν ἡγεμόνες ἢ μονόσκηπτροί τε τύραννοι
ὄργια μισσάων σφὶν ἀλεξιόλεθρα γενέσθαι
συνεχέως ἐπίταττον. ὑποδμῶας τε θυηλῆς
μισθωτοὺς ἀτίταλλον ἐπηετανοῖσι νομῆσι,
μήπως ἀμβολίη τις ἕλῃ θρησκεύματα μίσσης
ὀκνώδους, τόσσων τ' ἀγαθῶν αἴτημα πολυευχῆ.
ἔνθεν ἀριστῆες τε ῥυηφρονέες τε πολῖται
ἦθος ἐμιμήσαντο θεοσσεβέων ἱερήων,
καὶ σφὶν ἐτεκτήναντο θυηπόλον οἶκον ἕκαστος,
σπονδάων πρόπολόν τε δόμοις σφετέροισιν ἔθηκαν,
ἠὲ μυχῷ νηοῦ πολυχανδέος εὐρυμελάθρῳ,
φύτλῃ ὅλῃ βιότου πανατέγμενος ὄφρα κυρήσῃ,
υἱωνῶν τ' ἀΐδηλος ὀπισθογενέθλος ὅμιλος,
οὕς τ' ἔτι νῦν ζώεσκον, ὅσους δέ τε γαῖα καλύψεν,

Altaria crevêre in cunctis tēplis propter Missam.

Reges, principes, certas sibi Missas instituêre, Missæq; ministros perpetuo censu. Idē fecêre multi alij.

ὃς τάχα κεντίζεσκε καθαρσιβίοισιν ἀϋτμαῖς
μνησίκακος νέμεσις καὶ ἐριννύες ἀλγοδότειραι.
θείης μὲν θαλίης ἐν ἐδέσμασι χριστὸς ἑαυτὸν
ἡμῖν ἐπισταλάει τε καὶ ἐνθάδε λυτροπόρσυτα
χρήματα κοινωνεῖ μεροπηΐδι πάντα γενέθλῃ.
εἰλαπινασάμενοι δ' ἡμεῖς δεχόμεσθα, καὶ οὐδὲν
ἀντιδόμεν δυνάμεσθα χαρίσματα τοῖα διδόντι,
ἀλλὰ χάριν θεόπαιδι προσάπτομεν ἀνδρολυτρωτῇ,
ἀντ' εὐεργεσίης χαρίτων τίσαντες ἀμοιβήν.
οἱ δ' ἄρα θυλατρίην πορσαινέμεν ἔργα τε τεύχειν
μύστης ἐν τελετῇσι βιόσδοτα δενδίλλουσιν,
εἰς τόσσον κονίη πλαδερῆς χθονὸς αἰθέρα φύρει,
εἰς τόσσον μακάρων τε καὶ ἀνδρῶν τέθμια παππᾶς
συγκυκάᾳ θρασύτολμος, ὅπως ποτὶ πάμφθιτον ἄτην
ἐλπὶς ἀποστείχῃ λυτροκλήτοιο βιώνης,
καὶ πειθὼ σατανᾶο δεδυπότος ἔντεσι χριστοῦ,
ὅσπερ ἁμαρτοσύνης πάντας κατέλυσεν ὀχῆας.
παππᾶς δ' αὖ πίστει μάρπτει φρενόσεπτον ἀήτην,
ἀλλά μιν οἱ αὐτῷ σχεθέμεν μόνος εὐχετάαται.
οὐ γὰρ ἀναξιβίου μέτοχον βροτὸν ἄλλον ἔολπε
πνεύματος. οὕνεκα πάντας ὅσους βροτέη τέκε γαστὴρ
ἀκροδοκησίσοφος τακεροῖς χλεύεσσιν ἔϊσκει,
πᾶσαν ἐπεὶ κοιτῶνος ἑῆς φρενὸς ἔνδοθι κεύθει
θεσμοσύνην, ὁπόταν δ' ἐθέλει προτίθησι θέμιστας.
τῶν δὲ θεογλύπτων σελίδων νόον οἷος ἀπ' ἄλλων
οἷός τ' ἐστὶ βλέπειν τε καὶ ἐκπτύσσειν κατὰ κόσμον.
συγκλήτων ταμίης τελέθων συνόδων τε βραβευτὴς
δαιμονίων βασιλεύς τε καὶ ὄρχαμος οὐρανιώνων.

In cœna accipimus, nõ damus aut offerimus, vt blaspheme docent Pontificij.

Papa, quomodo credat in spiritum Sanctum.

Papa habet oĩa iura in scrinio sui pectoris.

Papæ maiestas quanta

ἡ γὰρ

ἢ γὰρ ὑπὸ πραπίδεσσι βεβυσμένος ὑψιμέδοντος
πανσοφίῃ συνέσει τε πὰρ ἐξ ὁδὸν οὐκ ἀλάληται
ἀτρεκίης. ὅτι τοῦδ᾽ ἀλιτήματα νόσφιν ὀϊστῶν
ἔπλετο μωμοβόλων κεχαρισμένα παμβασιλῆϊ,
οὐ προπάροιθε ἀληθείῃ σχεδὸν ἰσοφαρίζει.

Papa, quomodo credat sanctã ecclesiam catholicã.

οὐδ᾽ ἄρα σεμνοδίδακτον ὁμήγυριν ἔμμεναι ἀνδρῶν
παππᾶς ποικιλόθυμος ἀναίνεται, ἀλλ᾽ ἐνὶ τῇδε
στηρίζων σφετέρους ἑταίρους ὕψωσεν ἑαυτὸν
μοῦνον ἀριστεύοντα κράτει πλούτοιό τ᾽ ἀώτῳ,
ἄνθεσί τ᾽ εὐθαλέεσσι κεκασμένον ἀγλαϊάων.

Sanctorum cõmunionem non credit.

κοινὸν ἀπαρνεύει ἣ θεοσεβέεσσι τετύχθαι
ὄλβον ἐπουρανίων κτεάνων, ψυχοτρόφον ὄλβον.
αὐτὸς γὰρ προὔκρινεν ἔχειν πρεσβήϊα δόξης.
οὕνεκα παντοίης ἀρετῆς ὑπερήλυθε πάντας.

De resurrectione mortuorum, animæ immortalitate, & vita æterna, quid sentiant Põtificij.

αὐτὰρ ὀπισθοφανοῦς μετ᾽ ἐπήλυσιν ἠριγενείης,
χριστὸν ἐλευσόμενον στυγερῆς ἀφανίστορα μοίρης,
κευθμώνων παλίνορσον ἀναστήσοντα θανόντας
ἐκ χθονίων· ψυχὴν δὲ μενεῖν σόον ἠνεκὲς αἰεί,
φαιδρὸν ἀτερμαύτοιο βίου φάος ἀμφαφόωσαν.
παῦροι ὑπὸ στήθεσσιν ἀλωφήτοισι πίθοντο.
τοῖον ἐπεὶ βιότοιο κακοῦ τύπον ἐντελέχουσιν,
ὡς εἴη τοῖσδεσσιν ὀφέλσιμον, ἔνθεον αὐδὴν
οὐδὲν ἀληθεύειν φαεσκύνορος ἀμφὶ διαίτης.
ἔμπης ἀστροπόρου δαπέδου γεγάασι πυλωροὶ
κεῖνοι ῥιψίθεοι κακαλάστορες, οἳ σφετέροισι
βηλὸν ὁμοῦ καὶ γαῖαν ὑπεζεύξαντο λεπάδνοις,
τῶν περ ἀποκρέμαται κόσμου μεγάλοιο θέμεθλα
ὅσσα τε ποικίλα γαῖα καὶ οὐρανὸς ἀμφικαλύπτει,

οἷν ἄμφοιν ἄῤῥηκτοι ὑπεδεδέδμηντο κολῶναι
κεῖνοι παμμιαροὶ ταμίαι ῥωμαΐδος ἀρχῆς.
φεῦ φεῦ τῆς κακίης. ποῖον σκότος ἄφρονα κόσμον
λυγαίοις νεφέεσσι κυκώμενον ἀμφιμέλαινεν.
ἀλλά νυ παρθενόκουρος εὔσπορος ὑψιγένεθλος
χριστὸς ἀπειρεσίου πρυμνήσιον ἡνιοχεύων
ζωῆς, εὐδικίης τ' ἐριθηλέα σκῆπτρα νομεύων
κράτει θριαμβοπρεπὲς φαεινὸν διάδημα κομίζει.
οὗτος λακτισμοῖσιν ἐπιζαφέλοισι κάρηνον
συντρίψας ταραχηδὸν ἐγερσικάκοιο δράκοντος,
ῥυθμὸν ἐπευχάων σφετέρην ἐδιδάσκετο νύμφην,
οὗσιν ἐπιχθονίου τε καὶ αἰθερίου χύσιν ὄλβου
ἄφθονον αἰτίοσειε παρ' ὑψιθρόνοιο τοκῆος,
ἀντιβίην σατανᾶο δυσαντέος, ἀτρεκίης τε
δυσμενέων κατέναντα, καὶ ὅ,ττι κεν ἡμέες ἔργον
πατρόθεν αἰτήσωμεν ὑπέσχετο αὐτὸς ἀνύσσαι.
ὧδε δ' ἦ λίσσεσθαι πατροκλήτῳ τινὶ φωνῇ
ὑψίστου γενέταο θεοῦ πάϊς ἄμμε κελεύει:
ὦ πάτερ οὐρανίης αὐλῆς κλυτὰ δώματα ναίων,
εὐχαῖς ἡμετέρῃσι τεὴν κάκκλινον ἀκουήν.
δὸς δ' ἁγιάζεσθαι τεὸν οὔνομα πάντοθι γαίης.
καί τ' εὐημερέουσα πρὸς ἡμέας ὄφρα περαίνῃ
ἀρχὴ σφωϊτέρη μαλακῆς ἐπίνευσον ὀπωπαῖς.
σὸν δὲ τελεσθείη παράπαν πολύσεμνον ἐέλδωρ
ὥσπερ ὑπερνεφέεσσιν ἐνὶ στεγέεσσιν ὀλύμπου,
ὣς καὶ ἀνὰ χθαμαλῆς ῥάχιν εὐρύστερνον ἀρούρης.
δαψιλέως δ' ἦ βορὴν ἐπιούσιον ἧμιν ὀφέλλοις
σήμερον. ἡμετέρων δ' ἦ φρενῶν ἀπὸ τῆλε τινάξαις

Christus nihilominus viuit, & regnat, & docet, iubetq; orare Ecclesiam, contra Sathanam, & cũcta eius mẽbra.

Tertia pars Catechismi, Oratio Dominica, siue Pater noster.

* Sequitur Paraphrasis verborũ orationis Dominicæ ex ode Germanica, q̃ incipit : **Vater vnser im himelreich** quã nouit & canit subinde Ecclesia; & nouẽ membra continet.

ἄχθος ὀφειλάων καθάπερ καὶ ὁμόφρονι θεσμῷ
ἡμῖν ὀφειλομένους ἀγανῇ ποτιδέρκομεν αἴγλῃ,
βρῖθος ἀποσσείοντες ὑπ' αὐτομάτῃσιν ἐρωαῖς.
οὐδ' ἄρα πειρασμοῦ φρικτοῖς βασάνοισι πελάζων
στρεβλώσοις τεὰ τέκνα τεῶν φίλα πλάσματα χειρῶν·
ἀλλὰ κακῶν ἐρύσειας ἐπίρροθος, ὦ ἄνα, πάντων.
καὶ γὰρ ἀνακτορίῃ δυνάμει καὶ κυδεῖ λαμπρῷ
μοῦνος ἀριστεύων ἀρχοὺς ὑπερκίας ἄλλους,
εἰς ἔτος ἐξ ἔτεός τε καὶ εἰς αἰῶνας ἀλήκτους.
παυροεπὴς μὲν ἔφυ κείνη καὶ σύντομος εὐχή,
αὐτὰρ ἀμαιμάκετον πράξεων βάρος ἐγκατα μάρπτει
*ῥήμασι παυριδίοισι, τάπερ χριστοσεβὲς ἔθνος
εἰς θεὸν αἰωρεῖ τοίῃ μελυγήρυϊ μολπῇ·

I. πάππα μεγιστοπάτωρ βροτέης ἄμπαυμα γενέθλης,
ὃς σέθεν ἐστήριξας ἐπ' αἰθέρος ἄφθιτον ἕδρην,
ἀνθρώπους δ' ἐπέτειλας ἀδελφειῷ τινὶ θεσμῷ
σύζυγας εἰν ἑνὶ πάντας ἑνὶ ξυνήονι φωνῇ
πάσῃ σεῖο καλεῖν ἐπιτάρροθον ἄλκαρ ἐν ἄτῃ,
ἡμᾶς δ' εὔχεσθαι προτρέπων, πάτερ ὦ 'γαθ', ἄρηξον·
μὴ μόνον ἐκ στομάτων κενεὴν θρυλέωμεν ἰωὴν,
δὸς δὲ λιτὰς βυθίων πραπίδων ἔκτοθεν ἰάλλειν,

II. καὶ στέψαι θάμνοις τεὸν οὔνομα σεμνοπετήλοις
θρησκείης, καθαρὸν δὲ φαὸς πάτερ ἄμμι φύλαξον
σεῖο θεηγορίης θαλερηχέος, ὄφρα βιώτην
φθισινόου κακότητος ἀφαίρετον ἐκτελέωμεν,
οὔνομά σου κοσμοῦντες ὀφειλομένοισιν ἐπαίνοις.
ἔργαθε δ' ἡμετέρης νοθὰ δόγματα τηλόθι μάνδρης·
καί πάλιν εἰκτείρας σκολιοπλανέων στίχας ἐθνέων

εἰς πάτον ἀτρεκίης γλυκυφεγγέος εὐθὺ καθέλκοις.
σκήπτρων δ᾽ οὐρανίων ὅσιον κράτος ἀμφιπολεύοι III
ἡμέας ἐν πάγεόν τι βίῳ καὶ ἐν αἰθέρος αὐλῇ,
ἧχι μινυνθαδίοιο μετὰ δρόμον ἄστατον ἠοῦς
λάμψεται αἰὲν ἄναρχος ἀνέσπερος ἄζοφος αἴγλη.
ἄμμι δὲ ποικιλόδωρος ὁ μέστιος ἔμπεδον εἴη
πνοιῇ θεσπεσίῃ. σατανᾶο δὲ πύρπνοον ὀργὴν
καὶ θράσος ἀσχετότολμον ἐρύκανε. τοῦ δ᾽ ἀπὸ λύσσης
ὑμετέρης ἀμενηνὰ σάω κλυτὰ θρέμματα ποίμνης
νεῦμα δέ σεῖο γένοιτο θελήματος ὥσπερ ἐν ἕρκει IIII
αἰθέρος, ἰσοτρόπως καὶ ἀνὰ πλάκα πᾶσαν ἀρούρης.
ἄλγεσι δ᾽ ἐν πικροῖσι ταλάφρονα θυμὸν ὀφέλλοις
ἡμῖν ἀχθομένοισιν, ὅπως τεῒν ἦρα φέρωμεν
ἠνίκ᾽ ἀπημοσύνης τε καὶ εὐμοιρίης ἐνὶ κήποις
εὔφρονες ἐντρυφόωμεν ἀκηδέες, ἠνίκα δ᾽ αὖτε
σμερδνὸν δυστυχίης χειμάζεται ἀτρύγετος ῥοῦς.
ἀντιθέῳ δὲ χαλινὰ βάλοις ἐπὶ σαρκὸς ἐρωῇ.
ἡμῖν πορσαίνοις δὲ βίου μονοεικέα φορβὴν,
ὅσσων τε χρέος ἐστὶ χροοσκεπίης ἐνὶ μοίρῃ.
γαίης δ᾽ ἡμετέρης πάντῃ κλονέουσαν ἐνυὼ
λύμην τ᾽ ἀργαλέην χαλεπῶν δέ τε πήματα νούσων
καὶ λιμὸν στονόεντα βιοφθόρον ἐκφυγαδεύοις,
ὡς βιότου γανόωντος ὅλῳ ποδὶ λαῖτμα ταμόντες
ἥμερον, ἠρεμίης τε μελίφρονος οὖρον ἔχοντες,
ζῶμεν ἀχέων ἀπονόσφι φιλοχρύσου δίχα νούσου.
ληθαίῃ στροφάλιγγι δ᾽ ὁμόρροπα πάντα κεδάζοις VI
πταίσματα, μὴ καὶ ἔπειτα λυγρῇ κλονέωσιν ἀέλλῃ
κάμμορον ἡμείων τρομερὸν νόον, ὥσπερ ὀφειλῆς

συγγνώμην ἀδίκοισιν ἐπίσχομεν ἄσμενοι ἡμεῖς,
ὡς σύ καὶ ἡμετέρης ὑπερόπτεο κοίρανε λώβης.
καίπερ ὁμοφροσύνης παντερπέος ἠδ' ἀγαπήσεως
στοργοκαεῖς σπινθῆρας ὑπὸ στήθεσιν ἄναψον,
ἔργα μετ' ἀλλήλοις δρηστήρια μηχανάασθαι.
VII. μήποτε πειρασμοῖο βολαῖς, κύδιστε δυνάστα,
ἡμᾶς κεντίσσειας, ἐπίκλοπος ἡνίκα δαίμων
λαιῇ δεξιτερῇ τε παρασχεδὸν ἀμφιβαμίζων
ἄλγεσί τε στοναχαῖς τ' ἀκαχεῖ φρένας ἄμμιν ἀλάστοις.
αἶψα μαχεσσαμένοισιν ἐϋκλήϊστον ἔπαλξιν
καὶ θοὸς ἀῤῥαγὲς ἄλκαρ ὑπὸ στέρνοισιν ἐγείροις,
μάρνασθαι στεγανῇ περιθαρσέας ἰσχύϊ πειθοῦς,
καὶ ζαθέου πνευστῆρος ἀγχινοίῃσι πιθέντας.
VIII. δυστήνου βιότου δὲ κακῶν ἀπορύεο πάντων
ἡμέας, ἐκ γενεῆς κακοεργέος εἰς βίον ἕλκων
ἄφθορον, ἀτρέπτοιο καὶ ἐκ θανάτοιο σαώζων.
ὥρης ἀγχιμόρου δὲ κατὰ δρόμον ἐγγὺς ἐπελθών
ἄμμι παραιφασίην γλυκερήν ὑποκάτθεο θυμῷ,
καὶ τέλος εὐαύτητον ἐφήμερον ἡδυγάληνον
ἧμιν ἀποιχομένοισι χαρίζεο. σφωϊτέρῃ δὲ
ψυχὴν ἡμετέρην ὑπολάμβανε χειρὶ θεείῃ.
IX. ἀμὴν θερμοτάτης ἀμὴν ἐπιμάρτυρον εὐχῆς
ἔστω. πιστοσύνην δὲ τεῷ κάρτυνον αὐτῇ
ἡμῖν ἐνδυκέως, ἵνα μὴ δίχα θυμὸν ἔχωμεν,
τούτοις ἀμφ' ἐπέεσσιν ἀμηχανέοντες ἀεικῶς,
οἷς σέθεν ἠτισάμεσθα παρηγορέουσαν ἀρωγήν.
τοὔνεκ' ἐφημοσύνῃσι πεποιθότες οὐρανίῃσιν
οὔνομα κικλήσκοντες ἀειζώου βασιλῆος,

ἀμὴν εὐξαμένῃσιν ἀμὴν κελαδοῖμεν ἰωαῖς.

ἀλλὰ δόλους καὶ ἐπεὶ τεχνήσατο παντοτινάκτης  Oratio Papæ qualis
παππᾶς, καὶ τιμὴν θράσυς οἰκειώσατο ταύτην
οἱ αὐτῷ. γενέτης γὰρ ὑπέρθρονος ὅπποθι μοῦνος  1. Quomodo nomen Domini sanctificet.
ἱζάνῃ εὐχωλῇς τιμώμενος, ἔνθα τυφωσὺς
παγκλέπτης ἐκάθισεν ἑὸν θρόνον ἠδὲ θανόντων
εὐαγέων, ἅμα τοῖσιν ἑοῖ τελετάς τε λιτάς τε
ὠδίνειν ἐπέτελλε βροτοῖς κακομήδεϊ βουλῇ.
εὐχωλαὶ παππᾶο δ᾽ ἐπίπλεον κελοκόμποις
θρησκείαις, πυκινῶν τ᾽ ἐπέων ἐνὶ πλέγμασι κεῖνται.
οἱ δὲ θεοκλυτέοντες ἀμύμονες εἰς ἕδος ἄστρων  Veri adoratores adorant in Spiritu & veritate.
ὑψόσ᾽ ἐν ἀτρεκίῃ καὶ πνεύματι χεῖρας ἰέντες
παγγενέτῃ σπένδουσι θαλύσια πιστὰ λιτάων.
οὔνομα δὲ σφέτερον καὶ εὐκλεὲς εὖχος ἐχόντων
ἀνδρῶν φθινομένων θεσμοῖς ὁσίοισι σέβεσθαι  Inuocatio mortuorū.
ὅς ἀπωλείης ἐνετείλατο χριστόμαχος φώς,
ἀρχοντικῆς ἰδίης δόξης. δόξην δὲ θεοῖο
οὔποτ᾽ ἐρευνήσειν ἐπιμαίεται οὐκ ὀλίγον περ.
a τῷ καὶ ἀνακτορίην προσεπελθέμεν εὐχετάαται  a 2. Regnū suum vult aduenire.
b σφωϊτέρην, καὶ παντῇ ἐπικρανθῆναι ἐέλδωρ,  b 3. Suā vult vbiq; volūtatem fieri in cœlo & in terra.
ὡς γαίης ἀνὰ κόλπον ἀπείριτον ὡς ἀν᾽ ὄλυμπον,
c μαιμάα σφέτερον. δήμητρος δ᾽ ἱερὸν ἀκτὴν  c 4. Panis quotidianus Papæ.
ἄρτον ὑπερφιάλως ἀθερίζεται οὐρανόδωτον,
εἰ μὴ ἄδην παρέῃσι μεγήνορα κόμπον ἀέξων.
οἴκων δὲ σκήπτρων τ᾽ οὐ κήδεται, ἀλλ᾽ ἅπερ αὐτοῦ
μοῦνον οἱ ἀπλήστῳ περὶ γαστέρι δαίεται ἦτορ,
καὶ δὴ κηδοσύνην σφετέρων μόνον ἀμφέπε δούλων.
λοιπὰ δ᾽ ἐπουδαίης μεροπήϊα φῦλα γενέθλης

 νόσφισεν,

νόσφισεν, οὔτε λόγου τινὸς ἄξια πάντ' ἐνὶ μοίρῃ
θῆκεν ἀτιμοτάτῃ καὶ ὁμοῖα δενδρέσι λυγροῖς
ἠὲ καὶ ὀκνηροῖς ἐναλίγκια φάσκεν ὀνίσκοις.
οὐ ποθέει δὲ χάριν λώβης ἀφέτειραν, ὅτ' αὐτός
ἀλλήλων παντοτέλεστον ἁμαρτολύτειραν ἐπέσπε.
οὐδ' ἄρα πειρασμῶν κατεναντίον ὀξυβελέμνων
εὔχεται, ἀῤῥήκτοις ἐῤῥωμένος ἀμφὶ καλύπτραις
εὐτυχίης κατὰ γαῖαν ὁμοῦ μάκαρών τε καλιῶν.
πάντων γὰρ κρατέει παππῷος παντοδόχος χείρ.
ἣ ῥὰ θεὸν στρατικόν τε πυρίπνοον οὐρανιώνων,
καὶ γένος ἀνδρόμεον καὶ ἀλάστορας ἀρχεκακούργους.
καὶ πόλον ἐπτάζωνον ἰδὲ τροχόεσσαν ἄρουραν,
ὁππόσα τ' ἐν τοῖσδεσσιν ἐοργμένα ποικίλα κεῖται,
σχέτλιος ἔλπεται αὐτὸς ἑῆς παλάμῃσι νομεύειν.
τοὔνεκεν οὔτε κακῶν οὔτ' εὔχεται ἄλκαρ ἀνίης,
οὐδὲ γὰρ ὀξείῃσι βίου διαπείρετ' ἀκάνθαις:
ἀλλά νυ χαρμοσύνης καὶ ἀδακρύτοιο γαλήνης
καὶ κτεάνων δόξης τ' ἀπ' ἀπείρονος αὐτὸς ἄωτον
θηθὰ δρέπει, λύπης καὶ ὀϊζύος ἐκτὸς ἁπάσης.
a αὐτοῦ γὰρ σθένος ἐστὶν ἀάσχετον, αὐτοῦ ἐτύχθη
σκήπτρων λαμπετόωσα χάρις καὶ κῦδος ἐραννὸν
εἰς χρόνον, εἰς αἰῶνα καὶ εἰς δόμον ἄϊδος ἀμκῶν.
ἀμφὶ δὲ παππῴοις φλυαρήμασι λαὸς ἀλήτης
b οὐδὲν ἀμηχανέεσκεν, ὅτε ζαθέου δίχα μύθου
(ὅσσον ἐτητυμίης καὶ ψεύδεος ἔργα κιάζει)
τυφλονόου νεφέλαις ἐμεταίνετο θυμὸν ὁμίχλης.
οὐδὲ γὰρ οὐ ξυνιᾶσιν ἀλήμονες ἔνθεον ὀμφὴν
αὐτοὶ ἐπαγγελίοιο διδάκτορες ἠλυθρόοιο.

An petat remissionē peccatorū.

An oret contra tentationes.

An petat liberari à malis.

Eius est regnum, & potentia & gloria in secula.

Quia homines sine verbo erāt, inde petitūr cognitio veritatis & falsitatis, nō difficulter assētiebāt omnib. mēdacijs Pontificijs.

οὐδ

οὐδ' ἀδαήμονας ἄνδρας ἐδιωνήσαντο διδάσκειν,
καὶ δὴ κόσμιον οὐδὲν ἔην σφισὶν ἄλλο, καὶ οὐδὲν
κίδιον, ἢ τυφλωπὸν ἔμεν καὶ νήϊδα πάσης
ἀτρεκίης ὁσίης τε βαθυπλάγκτοισι μονοικαῖς
λαὸν ὅλον ψεύδεσι πολυσπορέεσσι πιθέσθαι.
τοῦτο τιτυσκόμενοι γὰρ νόῳ μάστευον ἀύπνῳ,
χριστοῦ ὅπως ζοφόεντι πέσῃ κλέος ἀμφὶ βερέθρῳ,
δῆμος γινώσκῃ γὰρ βιωφελὲς αἴσιμον οὐδέν.
οὐδέ τις εὐσεβίης σπινθὴρ σελάγιζε καὶ ὀρθῆς
πιστοσύνης. πάντῃ γὰρ νοοκλόπος ἄρκυς ὀλέθρου
παντοίης τ' ἀπάτης τέτατο κρήδεμνον ἄφυκτον.
οὔτε δ' ἐπὶ βρεφέεσσι νεηγενέεσσιν ἔχευαν
νᾶμα παλιμπλασίης ἱεροσταγές, οὔτε καὶ αὐτοὶ
λωβάων ἐπίληθον ἐπεξύνωσαν ἀλιτροῖς,
ἢ καὶ ὅτε ζεύγλῃσι γαμοπρεπέεσσιν ἔδησαν
νυμφίον ἀρτιχόρευτον ἐῇ θυμήρεϊ πλευρῇ,
γλώσσης ἀλλοτρίης κελάδοις μόρμυρον ἅπαντα
φθογγῆς αὐσονίοιο ποτιθρυλέοντες ἰωκὴν,
μήτι νόῳ δεδαῶτι καταφρασσαίατο λαοὶ,
ὧν ξυνίειν χρέος ἔσκε καὶ ὧν ἄπο χρειὼ ἀφύσσειν,
ἰδμοσύνην γλυκερὴν καὶ ὅλης παραμύθιον ἄτης,
μὴ καὶ ἐπὶ χριστοῖο θεμέθλια σωσιανείρης
πειθοῦς στηρίξειε βροτῶν γένος, ἀλλ' ἐπὶ φαύλου
πρήγματος ἀλλοτρίοιο θεόπλανον ἐλπίδ' ἐρείδοι,
εἰδωλοσεβίης ἵνα δυσκαμάτοισιν ὀνείροις
καὶ θελοθρησκείῃσιν ἐπιπλήσσειαν ἄγυραν,
εἰς τόσον, ὡς ἔκπληκτοι εὔφρονιμοί περ ἐόντες
οὐ πάτον εὑρίσκωσι, τόσην στύγα δυσμοιράων

Baptizabāt absoluebāt copulabāt latinè, lingua peregrina, & cur id fecerint.

τόσσης δυσσεβίης τ' ἀμαθίην ἀχροντίδ' ἀλύξαι,
κὖ δία καρτοσύνην, σοφίην καὶ ἐπίφρονα μῆτιν,
εἰ μὴ ἀπ' οὐρανόθεν σφὶ μολὼν θεόπομπος ἀήτης
εὐσεβίης λαθραῖον ὑπὸ φρεσὶ πυρσὸν ἀνάψῃ,
καὶ σφὶν ἐν ἐσχατίοισι βιορραγέεσσιν ἀέθλοις
Χριστὸν ὑπὸ στήθεσσι τὸν ἠπιόδωρον ἐγείρῃ.
ἔμπης οὐκ ἀμέγαρτα φόβῳ πλησσαίατο παῖδες,
τόσσα κακοῦ βελίαο τεχάσματα τόσσα νοσοῦντες
μήδεα δεινόπρηκτα τυφάονος ἰταλικοῖο,
ἀλλὰ τάχ' ἐμπαίξαιεν ἀμειδήτοισιν ὀϊστοῖς.
δαίμονος ἀνδρολέταο κακοζήλοιό τε παππᾶ
αὐτόμενοι τοίῃσι θεοβλυέεσσιν ἀοιδαῖς
ᾗσι προσαπίζωσι θεοῦ κλέος, ἠδ' ἀγάπησιν
τοῦ πέλας αὐξήσωσι, καὶ ὄλβι' ἐπευχετόωνται
οἴκοις τε σκήπτροις τε καὶ εὐαγέεσσιν ὁμίλοις,
τοῖσδ' εὐχάων ἐπιτοξεύσωσιν ὀϊστοὺς
ἕρκος ἀπόρθητον βριαροσθενὲς ἄμμιν ἐτύχθη
παμμεδέων σκηπτοῦχος, ὃ δή πέλεν ἄμμιν ἀρωγὴ
ἄτρομος, ἀγχιφανὴς γὰρ ἐπίρροθος ἄμμε σαώζει
πάσης ἐκ κακίης φορεπήμονος, ἣ ῥά νυ δαίμων
ἀρχέλοχος κακόχαρτος ὄφις μυροποιπλόπος ἐχθρὸς
ἤδη ἀναπρήθει βλοσυρῇ φρενὶ δεινόκοτον πῦρ,
τεύχεσι δ' ὀκρυόεσσι βίῃ σκολιῇσί τε τέχναις
λύσσῃ τ' ἀνδροφόνῳ κεκορυθμένος ἀμφιτροχάζει.
οὔ τις ἀνὴρ τούτῳ γαιήϊος ἰσοφαρίζοι.
ἡμῶν δ' ἀσθενές ἐστι κράτος καὶ ἄναλκις ἀκωκή.
ῥηϊδίως πίπτωμεν ὑπ' αἰνῇ δηϊότητι.
ἀλλ' ἔκκριτος ἀνὴρ παρὰ παγγενέταο τοκῆος

ij oppo-
unt pias
reces Re-
no Ponti-
cio.

Pij oppo-
nũt primũ
urori Sata
næ & hostiũ
eritatis
oden Ger-
manicam:
Ein ve-
ste burg
ist vnser
Gott /
quæ mẽbra
4. habet.
II.

ἄμμιν

ἄμμιν ἀμηχανέουσι βοηθόος ἄγχι παρέστη.
δίζεαι οἷος ἔφυ; πεφατισμένος ἐστὶν Ἰησοῦς
γλώττῃ ἐπωνυμίην ἑλληνίδι χριστὸς ἀνήων,
ἀρχὸς ἐπουρανίων ἐθνέων. μετὰ τοῦτον ἅπαντα
μηδείς ἐστι θεός. νίκης ὅδε μοῦνος ἐπαυρεῖ.
τοὔνεκεν εἰ καὶ κόσμον ἐπαθρήσαιμεν ἐναργῶς III.
δαιμονίων σμηνηδόν ἀναπληρούμενον ὄχλοις,
ἔμπαν ἀγαλλιόωμεν ἀταρβέες ἐμπεδόθυμοι,
οὕνεκα νῶε κιβωτὸς ἀεὶ βιότητος ἀμυδροῦ
ναυτολίην πολύμοχθον ἐπ' οὔδιον ὅρμον ἐπείγει.
τοῦτο δ' αὖ κόσμοιο θεήμαχος ἀρχὸς ἀγκύνωρ
ἄχεται χωόμενός περ ὅμως φίλα τέκνα θεοῖο
ἡμέας οὐ βλάψειεν, ἐπεὶ κεινούμενός ἐστιν,
ὅττι μὲν σὺ θεομηδὲς ἐπύλλιον ὦκα δαμάζει.
καὶ δὴ καὶ μύθημα θεοφθόγγων διδαχάων IIII.
στυφρῇ ἐπὶ κρηπῖδι βεβλημένον ἀσφαλὲς αἰεί
ἄβλαπτόν τ' ἐάωσι κακοῦ μήστωρες ἀνίγρου
πολλ' ἀεικαζόμενοί περ, ἐπεὶ πέλε σύμμαχος ἡμῖν
κρείων παμβασιλεὺς σφέτερον πινυστῆρα κορύνοσων
κηλῆσαι βαρὺ χεῖμα λογογδούποιο κυδοιμοῦ.
εἰ δέκ' ἀμβροσιβίῳ ποτὲ κακηρύψειαν ὀλέθρῳ
ἡμέας ὄλβον ἅπαντα γλυκυστόργους τε γυναῖκας
τέκνα τ' ἀπουράμενοι, νεαρὴν βιότητα τοκήων,
οὐ μάλα τοι βαρύλυπος ἄγη τέον ἦτορ ἀμύξοι,
τυτθὸν κορδαίνουσιν ἐῇ κακοεργεῖ βουλῇ
σχέτλιοι ἐχθοδαποί, χ' ἡμεῖς εὐπήτορι λαχμῷ
χρήματα κεκτήμεθα θεοκλήρου βασιλείης.
* εἶτα δὲ μειλίξωσι θεὸν τοίης λιτανείαις:

*Secũdo P
pro glori
Dei, pro
lectione
ximi, p
conomijs
politijs,
ſcholis, e
cleſia, illi
ſtri illahi
archia De
objiciunt
porro ho
bus verita
tis Litani
q̃ incipit
**Gott v
ter in d
Him=
melreic**
quæ mem
bra ſepter
decim co
tinet.

ὦ πάτερ οὐρανίων ἀδύτων πρόμε, κοίρανε κόσμου,
ὦ παῖ ἀρχιγένεθλε φερεσβίοιο τοκῆος,
ὦ φάος ἀρχεσίφωτον ἀγάκλυτον ἱρὸν ἄημα,
εἷς θεὸς ἐν τρισσοῖσι προσώπασι κρυπτάδι δεσμῷ
ἑνωθεὶς, ἀπέραντον ἔχων θρόνον, ἄχρονον ἀρχήν,
ἱλήκοις, φλογεροῖσι λιταῖς τεὸν οὖας ἀνοίγων,
ἃς σέθεν ἐννεσίῃσι πεποιθότες εἰς σὲ κομίζειν
σπεύδομεν, ἱκεσίοισι χαμαὶ γονάτεσσι πεσόντες.
II. ἱλήκοις, σὸς δ' οἶκτος ἀεὶ στάξειε βεβήλοις
ἡμῖν, οὐδ' ἔργων πάτερ ἀντιτάλαντον ἀμοιβὴν
ἡμετέρων πόρσυνον· ἀτὰρ παμπροίκιον αὐτός
σεῖο χάριν χαρίσαιο, δέμας, κλέος, ὄλβον ἀπάσης
δυστυχίης ἀπόσωσον. ὑπὸ φρεσὶ δ' ἡμέας αὐτοὺς
οἰκτείρων ἀπόνοσφι τεῆς χορός οὔποτε θήσοις.
III. ἱλήκοις, σατανᾶ δὲ δολόῤῥοπον ἄρκυν ὀλέθρου
λεπτὰ διαῤῥήξειας, ὅπως θρασὺς ἡμέτερον κῆρ
μήπου ὑποκλέψειε δόλῳ. σὺ δὲ θοῦριν ἀκωκὴν
αὐτοῦ ἐπαμβλύνων προτρέποις ἑτέρωσε πεσοῦσαν
ἡμείων τ' ἀτυχοῦσαν ἀνάλκιδ' ἐς ἄϊδα θρώσκειν.
οὐδ' ἂρ ἀποσταίης ἡμῶν ἀπόνοσφι χατίζων,
οὔτε περιβριμᾶται ἀνὰ χθόνα κόσμος ἀλήτης
ἄμμι κακὰ φρονέων καὶ κύντατα βυσσοδομεύων.
IIII. ἱλήκοις, κακότητα καὶ ἄλγεα καὶ κλόνον ἄτης,
δυσνομίην καὶ ἀλημοσύνην πτολέμοιό τε μῶλον,
ἔχθεα, δυσμενίην τε πυρός τε πολυφθόρον ὁρμὴν
φρικαλέας τ' ἀνέμοιο καταιγίδας ἠδὲ θυέλλας
λῃοβόρων ὑετῶν καὶ ἀτερπέϊ λιμὸν ὀπωπῇ
πάντα ταραξάμενον καὶ λοιμὸν ψυχοδαΐκτην.

καὶ νούσων ταχύποτμον ἄχος καὶ φάρμακ' ἀλυγρὰ
ἡμείων ἀπὸ τῆλε βάλοις, καὶ ἀπότροπον οἶμον
γαίης ἡμετέρης ἰοῦσι ξύμπαντα κελεύοις
εἰς βυθίους κευθμῶνας ἀμετροπόροιο θαλάσσης.
ἱλήκοις καὶ πᾶσαν ἀνὰ στονόεσσαν ἀέλλην V.
ἡμέας ὠκυμόροιο ῥιορραγίης ἀπελάσσοις,
μηδὲ λίποις, ὅτε σεῖο δίκην πάμψηφον ἔχοντος
βῆμα παραστιχόωμεν, ὅπως γένυν ἐξαλέωμεν
ἅρπαγ' ἀκφθιμένοιο βαρυσμαράγοιο βερέθρου.
ἱλήκοις ὦ Χριστέ, μελιγγλυκὺ δ' ἄλκαρ ὀφέλλοις VI.
ὑμετέρου διὰ κέντρα τελεσσιβίοιο λοχείης,
καὶ διὰ λυτροφόρων σταγίδων χύσιν αἱματόεσσαν,
μιξίλυθρον θ' ἱδρῶτα, δι' ἄλγεα, καὶ δι' ἀέθλους,
ζωῆς καὶ θανάτοιο μεσαίχμιος οὓς ἐτέλεσσας,
καὶ διὰ σταυρομόρου βιοτήσιον ὕπνον ὀλέθρου.
δοίης δ' ὄφρ' ἰάχῃ καὶ ἐς ὕστερον αἰὲν ἐπὶ πρὸ VII.
χριστοφανὲς κελάδημα θεομνήστοις ἐνὶ μάνδρῃς
πάμπαν ἀκυλίδωτον, ὀνήσιμον, αἰολόκαρπον.
ὄφρα καὶ εὐλαβίῃ μεμελημένοι ἄνδρες ἔωσιν,
οἵτε περιστέλλουσι τεοῦ λάτρευμα λόγοιο.
αὐτὸς ἐνεργείην δ' ἐπεβάλλεο σώφρονι μύθῳ,
καὶ πνοιὴν θείην ἵν' εὔφρονα καρπὸν ἀέξῃ,
ῥίζαν ἄγων ἀμῆσιν ὑπὸ φρεσὶ χαλκοθέμεθλον.
ἐσχατίνας δ' ἔκπεμψον εὐγλώσσοιο θερισμοῦ VIII.
εἰς πόνον ἐμπελόπιστον ἀειραμένους λάλον ἅρπην.
σπέρμα δὲ ζιζανίων πολυειδέας αἱρεσιάων
μορμῶνας ζύμην τε νοοφθάρτων ἐνοπάων
σχίσματά τε κρυόεντα καὶ ἰὸν σκυδαλόεντα

προφθάμενος φραδίῃσιν ἀνικήτοισι κολούοις.
ἐν ἀμελησιλόγῳ δ' ἔτ' ἀλωομένους σκοτομήνῃ
ὤ' να διαλλάξειας ἀπὸ σκοτίης πάλιν ἕλκων
εἰς πάτον ἀτρεκίης μελιτόρρεος ὀρθοβατείρης.
IX. λυσσαλέους δὲ πίεζε βραχίονι θούριδος ἀλκῆς,
ὅσσοι ἀναιδέα δῆριν ἀμεμφέος ἀντία μύθου
στησάμενοι πικρῇσιν ἐπιστοβέουσιν ἀπειλαῖς.
κακηλάσσοις δὲ θοῶς μαχομήτιδος οἶστρον ἐρωῆς,
σὸν δὲ λάχος νοσφῶν μερόπων πειθήνιον ὄχλον
ἀσφαλέως σκεπόων ὑπὸ σῇς πτερύγεσσι καλύψαις
ἐκτὸς ἀπωλείης, ὅτ' ἐπὶ χθονὸς αἰόλα πέσσει
πήματα. τοῦ δ' ἔμπης ἐριτίμιον αἷμα φαάνθη
ὀφθαλμῶν προπάροιθε θεογλήνοιο προσώπου.
X. ἄμμι δέμας δὲ καὶ ὄλβον ἐπιφρούρησον ἄριστε
ποιμὴν ἐφημερίων πανυπέρτατε δῶτορ ἐάων.
πρηΰφρων δ' ἀνάφαινε τεὴν οἰκτίρμονα βουλήν,
καὶ σκέπαϊ πτερύγων πολυτερπέϊ σεῖο πυκάζοις
ἡμέας ἐκ στασίων τε καὶ ὑσμίνης ἀλεγεινῆς.
XI. νίκης δὲ πτόρθοισιν ἀειθαλέεσσι κάρηνον
ἀμφὶς ἐπιστέψοις ἡγήτορι τευτονιδάων,
καίσαρος οὔνομ' ἔχοντι μεγακλήεντι μονάρχῃ,
αὐτοῦ δ' ἀντιπάλων κρυφιοκλόπον αἴσυλον ὁρμὴν
καὶ σθένος οὐδενόοις ὀλοφώϊον. ἡμετέρης δὲ
γαίης κηδεμονεῦσι διοικηταῖς τ' ἀγανοῖσιν
εἴης πιστὸν ἔρεισμα καὶ ἱερὸς ἀγκύρα βουλῆς.
αὐτῶν τε κραδίην βουλητόκον ἱρὸν ὅμιλον,
καὶ πτόλιας πτολίων τε καὶ ἀστυδίων ναετῆρας
καί, πάτερ, εἰν ἑνὶ πάντας ἐπιβλέψειας ὀπωπῇ

πρηϋγέλῳ. χριστῷ δὲ πεποιθότας ἀμφαγαπάζοις XII.
φσυξινάκῳ περίαλλα βραχίονι, καὶ σφὶν ἀρωγὸς
δειμῷ βιαζομένοις ὀλιωνήφατος ἄγχι φανείης.
παῖδας δ' ὀρφανικοὺς πολυτειρέας ἶφι φυλάξοις.
πενθαλέης χήραισι παραιφασίην ἀναφαίνοις
ἄλγεσί τε στοναχῆς τε κατηφέα θυμὸν ἐλύσαις.
θηλυτέρας δ' ἁπαλοῖσι γάλα βρεφέεσσι διδούσας XIII.
μαζῶν ἐκ γλαγερῶν καὶ γαστέρι καρπὸν ἐχούσας
ἀνδρόφυτον φρούρησον ὁμοῦ τέκνοισιν ἀγαυοῖς.
νουσαλέοις δὲ παραιφασίην τέκμαιρε λιγείην
μήπου ἀελπτοσύνῃ τετιημένον ἦτορ ἔδοντες
στυγνὸν ἀπειθείης ὑπ' ἀμερσιβέοιο βέρεθρον
πτῶσιν ὀλισθαίνωσιν ἀνήγρετον. ἀχθομένῃ δὲ
ψυχῇ ἑτοιμάζοις κείνων φυσίζοον ἄλκαρ
ἐν πυμάταις στροφάλιγξι βιορραγέεσσι προσελθών.
πᾶσι δ' ὑπὸ σπλάγχνοις ταλασίφρονα θυμὸν ἔγειρον XIIII.
οἵ τε κακουργείης νόον ἄμμορον ἀμφιέποντες
πάσχονται παρὰ μοῖραν ἀλαστά τε καὶ στονόεντα
πήματα, καὶ σφέας αὖθις ἀναζώγρησον ἀθώους
ἐχθρῶν σκυθρωπῶν στυγερὰς ὑπὸ χεῖρας ἀλύξαι.
πασιπαρηγορίῃ συνομίλεε μυστίδος αὔρης,
ὅσσοι ἐναίρονται νεμεσήμονος ἔγχει χαλκοῦ.
ἡμῖν δ' ἀντιβίοισιν ὅσοι φρεσὶ σκυδμαίνουσιν XV.
ἵλαθι, συγγνώμην μεταδοὺς πάτερ ἀμπλακιάων.
δὸς δ' κακοπραγίης σφισὶ συγγνοίημεν ἁπάσης
ἡμέες οὐκ ἀέκοντες εὐζήλῳ τινὶ θεσμῷ,
ὄφρα γαληνιόωμεν ἀεὶ μετὰ πᾶσι βροτοῖσιν
εὔδιον οὐκ ὄργηλον ἐφήμερον ἦθος ἔχοντες.

δὸς δὲ παλιμφρονέειν κακίης ὑπόδουλον ἅπαντα,
σῆς χάριτος φλογεροῖσιν ἐρεχθόμενον φρένα κέντροις.
XVI. καὶ σταχυηστεφάνου δημήτερος ὄμπνιον ἀκτὴν
πίοσιν αὐξήσειε γέαις σέο δαψιλέος χείρ.
καὶ νιφετοῦ στροφάλιγγα χαλαζήεσσαν ἀέλλην
καρποτόκων ἀπόνοσφιν ἐρητύσειας ἀρουρῶν.
καὶ χάριν ἡδυπόθητον ὑπὸ φρεσὶν ἄμμι φυτεύοις
ὄφρα βιωφελέως δαπανησώμεσθα λαβόντες
δῶρα τεῆς παλάμης μενοεικέα, μὴ δέμας ἡμῶν
φορβῇ ἐπασσυτέρῃ διεπιστείνωσι καὶ ἦτορ
ἄμμι παρακλινέωσι θεογλύπτων ἀπὸ θεσμῶν.
XVII. ἵλαθι παμπλάσταο κλυτὸν βλάστημα τοκῆος,
ἵλαθι πατρῴης κλυτὸν ἱλαστήριον ὀργῆς,
ἵλαθι χριστὲ μάκαρ ἀγαπήνορος ἀμνὲ θεοῖο,
ὃς κεν ὑπεξαύτλησας ὅλου λωβήματα κόσμου.
ὦ πόρος εὐλογίης σὺ αἰνετὲ πάνσοφε ποιμὴν
χριστέ, δυσπαθέων μερόπων ἐλέαιρε γενέθλην.

Puer mane surgẽs, quo pacto se gerere debeat.

καὶ μὴν χριστιάδης περὶ πάντων αὐδομαθὴς παῖς
πρώϊον ἐκ στρώμνης ὅτ' ἀνέρχεται, αὐτίκα θείου
σημαύτρῳ σταυροῖο περιφρουρούμενος εἴπῃ:
οὔνομα τριοσοφαοῦς τριάδος κλυτὸν οὔνομα πατρὸς
υἱοῦ καὶ πνοιῆς μὲ πανημαδὸν ἀμφιπολεύοι.
εἶτα θεοῦ προπάροιθεν ἑοῖς ἐπὶ ποσσὶν ἀερθεὶς
ἠὲ γονυκλινθεὶς λιτανεύματ' ἀποστολικοῖο
συμβόλου ἐκφράσσῃ καὶ κυριακὴν λιτανείην.
ἢν δ' ἐθέλῃ καὶ τοῦτ' ἐνέπῃ βραχύμυθον ἐπευγμάς.

Preces matutinę Christiani pueri

σοὶ πάτερ ὑψιμέδων χαρίτων χρέος ἐξαποτίω,
σεῖο πυριστόργοιο δι' υἱέος, ὥς μὲ φύλαξας

πάν-

πάντων κινδύνων ἀπελεύθερον ἄμμορον ἄτης,
νύκτα δι' ἀμβροσίην. λίτομαι δέ σε καὶ τόδ' ἐς ἦμαρ
ἀσκηθῆ καθαρόν τε θεοστυγέος με φυλάξοις
ἀμπλακίης, ἔξω βελέων πικροῖο μερίμνης,
ὄφρα τάπερ τελέω κεχαρισμένα πάντα γένηται
σοι αὐτῷ, βιότου καὶ ὅλος τύπος εἴη ἀμύμων.
τοὔνεκ' ἔγωγε, δέμας, δέματός τε θεόσσυτος αἴγλη
ἡ ψυχὴ, καὶ πάντα τεῇς ἐνὶ χείρεσι κείσθω.
εἴη πιστὸς ἑταῖρος ἐμοί τεὸς ἀγγελιώτης,
μὴ κακὸς εὑρίσκῃ κατ' ἐμοῦ δύναμίν τινα δαίμων.
τοῖα λιταζόμενος θαλερῇ φρενὶ μουσοπόλος παῖς,
ἔργα μεταΐσσειε φιλοσπούδοιο μενοινῆς.
οὔτε διδασκαλίης δ' ἐπεπείγεται ἕδρανα δύνειν, Preces pueri ludum petentis.
Χριστὸν ἐπαυδάσειε σαώφρονα τοῖα βοήσας:
Χριστὲ πάϊς, μέγα κῦδος ἀνυμφεύτοιο τεκούσης,
Χριστὲ τέκος γονόεντος ἀπειρογάμοιο τοκῆος,
πρῶτος ὃς ἑδρεύων πυκαμήδεϊ δημογερόντων
ἐν ἀγορῇ σοφὸν ἦχον ἀνήρυγες ἀνθερεῶνος
νηπιάχου, μαντῷα χαράγματα δ' αὖθι προφητῶν
πατρὸς ἐφετμοσύνας τε προσηνέος αὐτοφυτεύτου
θαμβαλέοις ἄνδρεσσι διέκλυθες ἐκπρολιγαίνων,
δός μοι δίψαν ἔχοντι πιεῖν βιοτήσιον ὕδωρ
πίδακος ἀενάοιο καταῤῥόον, ὄφρα μὲ τέχναις
ἔμπονος ἀσκήσω γεραραῖς. σὺ δὲ λῆμμα καὶ ἤθη
καὶ ζωῆς ἅμα πᾶσαν ἐμῆς ἴθυνε κέλευθον
ὡς ζαθέοις ἐπέεσσι καὶ ἐλπίδι σεῖο μεμηλὼς
διφήσω πτερόεντι νόῳ νοερῆς τ' ἐπιβήσω
τέχνης, ἠλικίην, σοφίην τ' αὐξόμενος ἄκρην.

ἐξοπίσω

Preces pueri è ludo domum redeuntis.

ἐξοπίσω σπεύδων δ' ὁ πάϊς μεγάρονδε νέεσθαι,
εὐξάμενος παλίνορσον ὑπὸ φρεσὶ τοίᾳ βοήσῃ:
ἆ πόσα μυθοδόκοισιν ἐν οὔασιν ὧν πέρ ἐδέγμην
ἀμφὶ βιοπρεπέων ἀρετῶν καὶ φιλοσοφίης
ὅσσ' ἡμῖν ἐπέοικε βαλεῖν ἐνὶ βένθεϊ θυμοῦ.
ἆ πόσα παιδευτᾶο προτρεπτικὰ δόγματα ἔδεκτο
λεπταῖς ἐν σελίδεσσι γράφων συνάεθλος ὅμιλος:
ἀλλὰ σύ μοι θεόπαι πάντων κλυτὲ δῶτορ ἐάων
ναρκῇ ὑπ' ἀπαλάμῳ πεπεδημένον αὐτὸς ἐγείραις
λῆμμα νόου, μάρψαι βιοκερδέα καὶ ξυνέπεσθαι,
κηρὸς ἅτ' εὐπαγέος παλάμῃ πλάσαντος ὑπείκει
οὐδὲν ἀπὸ σπουδῆς νοοτερπέος ἀμμελιάζοι.
οὐ κρύος οὐ πενίης σκώληξ οὐ καύματα. φοίβου.
θείης ἐν καλύβῃσι διαμπερὲς ἐμβιοτεύων
εἴην, χριστὲ μάκαρ, θεομηδέος ἄρθρον ὁμίλου.

Preces pueri euntis in Templum.

καὶ κλισίην δὲ θεοῖο κιὼν τάδε μυθολογεύοι:
ἡδύ τεοῦ νηοῖο μυχαίτατα ναιετάασθαι,
ὦ πάτερ, ἡδὺ κλύειν ἀγανοφθόγγων ἐνοπάων,
καὶ τεὶν εἰν ἀγορῇ χάριν εἰπέμεν ὀλβιανείρῃ,
λαοῦ τ' εὐχωλῇσιν ὁμόζυγα πεμπέμεν εὐχήν
ἠδ' εὐεργεσίας ἀναμέλψαι σωσιανείρας
σεῖο γόνου, καὶ σταυρὸν ἐς αἰθέρα μέχρις ἀείρειν
ᾠδῇ παγκλυκερῇ καὶ ἐϋκρέκτοισιν ἐπαίνοις.
μοῦνος ὁ δ' ἀδρανέοντι βιοσσόος ἤλυθε κόσμῳ
ῥύσας ὠκυμαρόντον ἐπιχθονίων γένος ἀνδρῶν.
τοὔνεκεν ὅστις ἐπ' αὐτὸν ἀμεμφέα πίστιν ἐρείδει,
λαμπρότατον σπινθῆρα τριλαμπέος ὄψεται αἴγλης
εἰς ὅσον ἐμπεδόκυκλος ἑλίσσεται ἄχρονος αἰών.

τοῦτο δ᾽ ἐμοὶ πόρσηνον ἀγνῆς αὐτοῖο βιώνης
δῶρον, ἀριστοπόθητον ἵν᾽ ἐμπεφυτευμένος αἰὲν
σώματι σεῖο μενῶ δενδρεύμενος ἡδέϊ πρέμνῳ.
ἄραγε νηπιάας ὀχέων παῖς εἰμὶ καὶ οὐδὲν
αὐτομάτως τελέειν σοὶ ἐφαρμενον ἔσθενον ἔργον
οὕνεκα λοιγοφόρου θανατητόκον ἰὸν ἀπ᾽ ἰοῦ
πρωτοθεοβλαβέος λώβης ῥιζηδὸν ἐφέλκω,
καὶ ψυχὴν βαρύθουσαν ὑπ᾽ ἀμπλακίῃσι κομίζω.
ἀλλὰ σὺ παγγενέτην πείθειν κλυτὲ σῶτερ ἔωθας
ὄφρα μοὶ εὐμενέῃ καὶ πλαίσματα πάντα κεδάσῃ
εἰς ἀνέμων στροφάλιγγα βαλὼν καὶ κρυπτάδα λήθην.
ἔνιν σοὶ φίλος υἱός, ἅτε πατρὸς οἰογενὴς παῖς
αὐτὸς ἔφυς, καὶ σάρκα βροτήϊον ἀμφιπαχυνθεὶς
παρθενικῆς ἀγάμου θαλερὸν βλάστημα λοχεύθης.
νοῦν ἐμὸν εὐθύνοις ὁσίου. πνευστῆρος ἀρωγῇ
ἤθεα θεσπεσίοιο λόγου πλάστιγγι νομεύων.
σεῖο κελευσμοσύνῃσιν ἑκούσιος ἦρα φέροιμι
ἤμασι σαββατικοῖσι τεὴν δούλευμα τιταίνων
ὅττι μίη γλυκίων πέλει ἡμέρα ἱερεύοντι,
ἢ δίχα σεῖο πέλει λιπαρώδεος ἔκτοθι νηοῦ
αἰὼν μυριόκυκλος ἐτώσια μηχανόωντι.
οὔποτ᾽ ἀπολλῦσθαι δ᾽ ἐθέλοις, πάτερ ὦ γαθ᾽, ὁμίλους,
οἵ σε πανημερίοισιν ἀνυμνείουσιν ἐπαίνοις.

ἐκ νηοῖο δ᾽ ἰὼν θυασώδεος ὧδε πιφαύσκῃ: — Pueri redeuntis è Tẽplo.
ὑψίστῳ γενετῆρι χάρις, σωτῆρι δὲ δόξα,
πνοιῇ τε κλέος ἔστω ἀθέσφατον ἐνθεομύχθῳ.
ἦ ῥα χοροστασίῃσι μεμιγμένος ἀγγελικῇσιν
ἤδη ἐγὼ δοκέεσκον ἐπαυρῆσαι μελιφύρτου

γήθεος, οὗ τε βολὴν θεορήτορος ἔκλυον ὀμφῆς
ὅττι· δικαιοποιὸς ἰαμάτων δίχα σώτρια πίστις·
οὗ τε καὶ ἀρητῆρας ἐπέβλεπον ἱερὰ ῥέξειν,
οἷς λαοὺς βόσκει τε θεὸς μεροπηΐδα φύτλην.
ἃ μοι εὔχλοε ἐργῷ μίμνοι μινυώριος αἰών
εἰς ὅσον ἠχήσει θεοσύγχρονος ἄσπιλος ὀμφή
τίς ποτε ναυστολίην βαρυχείμονα τοῦδε πορεύειν
μαιμώῃ βιότοιο, τίς ἄλγεα μυρία πέσσῃ
νόσφι θεηγορίης σωσικύορος ὀλβοδοτείρης;
ὡς ἀτρακτυλίδεσσιν ὑπαὶ ῥόδον ὀξυακάνθοις
ἔμπης θαλλὸν ἄειρεν ὀδωδότα λαρὸν ἀϋτμήν
οὕτω ῥῆμα θεοῦ θάλος ὄμπνιον αἰὲν ἀέξοι.
δένδρεος ὑψιλοῖο δ' ἅ τε πτόρθοισι καλιή
προσκρέμαται, φέρεται δ' ἢ καὶ ὠκεανοῖο ῥεέθροις
νηῦς ὀλίγη, βορέαο, νότου τ' εὔροιό τ' ἀέλλας
ἢ νηῦς οὐκ ὄθεται, καὶ ὁ γρυπῶν οὐκ ἀλεγίζει.
ὡς καὶ σεῖο κιβωτὸν ἀπήμονα χριστὲ σαώσοις,
λαίλαπας ὄφρα φύγοι κρυεροὺς οἶστρόν τε τυράννων,
ἑσταίη καὶ ἄβλαπτος ἀκινήτοισι θεμέθλοις.
ἀλλ' ὃν περ σπέρμηνε διδάσκαλος εἰς ἐμὸν ἦτορ
ἃ πίπτοι σπόρος οὗτος ἐπ' εὐώδινος ἀλωῆς,
ὥριον εὐθερισμὸν ἀπείρονα καρπὸν ὀφέλλων.
ἀνέρας οὖν ἔρδειν πολλοὺς χριστόν τε δαῆναι
πάμμακαρ ἀτρεκέως βίοτος μερόπεσσιν ἐτύχθη.

eces pue ad Deū, posſit pa re moni- salutari s præce- rum rum.

Καὶ δὴ ἐπεὶ λαβρῆσιν ὑπ' ἀφραδίῃσι νόοιο
πολλὰ διδάσκαλον ἄνδρα χόλου πίμπλησι μαθητής,
αἰὲν ἐπιγνώμην θεὸν αἰτήσειε καὶ εἴπῃ:
ἤπιον ἡμετέροιο διδάκτορας εὐνεσιάων,

ὦ βα-

ὦ βασιλεῦ πανεπόπτα, τεῆς τ' ἀίστηκον ἐφετμῆς·
ἀργαλέης τί δὲ τοῦτο τὸ δύσπαλον, ὅ, ττι μ' ἐέργει
ἐλδόμενον, φίλε Χριστὲ, τεὸν βίον ἄγνον ἀνύσσαι.
οὔτε περιπτύσσω λόγον ἐν φρεσὶ πρόφρονι βουλῇ,
δύνηστοτος ἐν μελέεσσιν ἐμοῖς κλόνος ἀντεριδαίνει
οὐδὲ γὰρ αὐτούχοις ἀρεταῖς καὶ σαρκὸς ἐρωῇ
ἐν πινυτοὶ γενόμεσθα σοφῶν ὑποφήτορες ἔργων.
τοὔνεκεν εὐσεβέειν πόθεν ἄρξομαι; ἢ πόθεν αὐτὸς
σεῖο δικαιονόῳ κραδίῃ καταθύμια ῥέξω;
σοὶ γὰρ ἐπανδάνειν θυμήρεά τ' ἔργα τελέσσαι,
τοῦτο τεὸν δώρημ' οὐκ ἄλλων ἐστὶ χάρισμα
ὤφελον οὖν ἀρέσαι σοὶ ἐγὼ σέθεν αὐτοῦ ἕκητι,
καὶ διά σου παῖδος ψυχαλθέων ὠτειλάων.
ἀρχὴν δ' ἠλυτέροιο βίου νοεροῦ τε μενοινῆς
ἀώρης ἐκ ζαθέοιο λελήψομαι ὑψιανείρης.
τῇ τε νεόπλαστος τελέσω σέο κυδρὸν ἐέλδωρ,
ὅσσον σῆς πνοιῆς ὑποθημοσύνῃσι δαήσω,
ἥ τις ὅτ' ἄνδρα λέλοιπε καὶ ἄψ ἀνεχάζετ' ὀπίσσω
σκυζομένη, προκάρηνος ὀλίσθανεν ἀψίκανος χοῦς
εἰς ἄντλην ζοφόεσσαν ἁμαρτοτόκων μελεδώνων.
οὔνεκα νόσφι θεοῦ κηριτρεφέων χοὸς ἀνδρῶν
οὐδενός ἐστι λόγοιο καὶ οὐδενός ἐστιν ἀριθμοῦ.
μᾶλλον ἐπεὶ σατανᾶο λιλαίεται ἠὲ θεοῖο.
ἀλλά με πλάττε πάτερ καὶ σείρασον εἰς σέθεν αὐλήν·
ἢν ἢ λίπῃς δάψωσιν ἐμὲ φλόγες ὦκα γεέννης.
τοὔνεκα παγγενέτωρ, καὶ ὁμήλικος υἱὲ γονῆος
καὶ τρισσὸν μετὰ τοῖν δὲ φάος, μονόσεπτε μονάρχα,
σὸν κτέρας ὀτραλέως ἐμὲ δέχνυσο χειρὶ κραταιῇ.

κύκλον

*Preces ad mensam accessuri.*

κύπελλον ἐπιστιχόων δὲ κορεσιβίοιο τραπέζης,
χερσὶν ὁμοζυγέεσσι χέων ἱκετήσιον αὐδήν,
οὕτως ἀμπετάσειε θεήγορον αἰθερεῶνα:
εἰς σὲ πάτερ πανεπόπτα δεδόρκασιν ὄμματα πάντων,
ἐλπωρὴν βόσκοντα γλυκύτροφον, ὅττι σὺ δώῃς
πᾶσιν ἐφάρμενον εἶδαρ ἀφειδέα χεῖρα τανύσας.
τετραπόδων δὲ γένεθλα καὶ ἔμπνοα πάντα κορέσσῃς
πλήσας εὐλογίῃσι καὶ εὐδικίῃσι νομεύων.
ὦ πάτερ εὐλογίῃφι καὶ ἡμέας ἀμφιπολεύοις,
καὶ δωρήματα ταῦτα προκείμενα, τάπερ ἔδωκεν
ἡμῖν πειναλέοσιν ὀνείατα δαψιλέος χεὶρ
ὑμετέρη διὰ χριστὸν ἀγακλέα κοίρανον ἀνδρῶν.

*Preces à mensa discessuri.*

καλλείπων δὲ τράπεζαν, ἐπεὶ κορέσατο φορβῆς,
ποιμένι παντοβοτῆρι χάριν παῖς ὧδε τιταίνῃ:
μέλψατε παμβασιλῆα, πανήπιος οὕνεκ᾽ ἐτύχθη,
οὕνεκ᾽ ἐς αἰῶνα σφετέρην ἐλεητὺν ἀέξει,
ὃς σάρκα ξύμπασαν ἐδητύος ἤρκεσε μοίρῃ,
καὶ βοτανῶν ζυγίοις μελιηδέα δαῖτα κορύσσει,
καὶ κοράκων ἐφέηκε βορὴν ἀπαλοῖσι νεοσσοῖς
πολλὰ λιταζομένοισι καὶ αἴλινα κραζομένοισιν.
οὔποτ᾽ ἄναξ χρεμετισμὸν ἀγαίεται ἄσχετον ἵππου,
οὐδέ τινος κνήμῃσι θοαῖς ἐπιτέρπεται ἀνδρός.
μᾶλλον ἐπὶ δμώεσσι θεοσεβέεσσι γέγηθε.
οἵτ᾽ ἐλεημοσύνῃ μεμελημένοι εἰσὶν ἄναπτος.
σοὶ χάριν οἴδαμεν, ὦ ᾽να βροτῶν ὑψίθρονε ποιμήν,
ἀντ᾽ εὐεργεσίης πάσης διὰ χριστὸν ἰησοῦν,
τηλύγετον σέο παῖδα καὶ ἤπιον ὄρχαμον ἀνδρῶν,
ὃς ζωὴν καὶ σκῆπτρα διηνεκὲς ἀμφιπολεύεις.

οὕτω ἀειφθόγγοις ὁ πάϊς κεχαρήσεται εὐχαῖς, Asiduè orandum est
αἶεν ὑπὸ κραδίῃ χάριν ὑψιμέδοντι τιταίνων
πάντων γὰρ κορυφὴ τ' ἀγαθῶν ἡδεῖα προσευχή,
αἶεν ἀναθρώσκουσα ποτὶ θρόνον ὑψιμέδοντος.

αὐτὰρ ἐπεὶ φαέθων χρυσόχροον ἔκρυφε κύκλον
ὄφνη τ' ἰκμαλέη γαίης ῥάχιν ἀμφιμελαίνει, Preces pueri ituri cubitum.
καὶ κείων θαλάμονδε τράπῃ πάϊς, αὐτίκα θεοῦ
σημάντρῳ σταυροῖο περιφρουρούμενος εἴπῃ:
οὔνομα πασιφαοῦς τριάδος, κλυτὸν οὔνομα πατρὸς
υἱοῦ καὶ πνοιῆς ἐμὲ πάννυχον ἀμφιπολεύοι.
εἶτα θεοῦ προπάροιθεν ἑοῖς ἐπὶ πόσσιν ἀερθείς,
ἠὲ γουνοκλινθεὶς λιτανεύματ' ἀποστολικοῖο
συμβόλου ἐκφράσσῃ καὶ κυριακὴν λιτανείην
ἢν δ' ἐθέλῃ καὶ τοῦτ' ἐνέπῃ βραχύμυθον ἔπευγμα:
σοὶ πάτερ ὑψιμέδων χαρίτων χρέος ἐξαποτίω,
σεῖο πυριστόργοιο δι' υἱέος, ὡς με φύλαξας
πάντων κινδύνων ἀπελεύθερον ἄμμορον ἄτης,
ταύτης ὠκυπέδιλον ἀνὰ δρόμον ἠριγενείης,
ὦ πάτερ αἰτίζων σε διείρομαι ὄφρα μοι ἄχθος
πάσης ἀμπλακίης ῥίψῃς ὑπὸ βένθεα πόντου,
ἥν που ἀλιτροπάτοισιν ἀπότροπος ἦα κελεύθοις,
καὶ με δι' ἐσσομένην ζοφοειδέα νύκτα φυλάξῃς.
καὶ γὰρ ἔγωγε, δέμας, δέματός τε θεόσσυτος αἴγλη
ἡ ψυχὴ καὶ πάντα τεῇς ἐνὶ χείρεσι κείσθω.
εἴη πιστὸς ἑταῖρος ἐμοὶ τέος ἀγγελιώτης,
μὴ κακὸς εὑρίσκῃ κατ' ἐμοῦ δύναμίν τινα δαίμων.
ὡς φάμενος γλυκὺν ὕπνον ὑπὸ στήθεσι δεχέσθω.

οὕτω, παῖδες ἄριστοι, ἀειβλυέεσιν ἐπευχαῖς Vis piarum precum.

(ἄρρηκτος γὰρ ἔπαλξις ἀπόρθητόν τε πέλονται
ὑμείων πρόχημα, τὸ δαίμονος οἴματ' ἀλάλκει)
ἀμφιποριζωστοὶ μαχικὸν βελέων θόρυβον
οὔποτ' ἐπιτρέψοιτε, θεὸς δὲ καὶ αὐτὸς ἐκείνου
λύσσαν ἐρητύσει θρασυμήχανον, ἀμφὶ καὶ ὑμῖν
ἀγγελικαῖς στρατιαῖσιν ἐπιτροπάδην ἀγορεύσει,
ὑμέας ἐν πάσαισιν ὁδοιπορίῃσι φυλάξαι.

IIII. Pars Catechismi, Absolutio.

καίπερ ἀτασθαλίης τετληκότες ἦτορ ἱμάσθλῃ,
ἥνπερ ὑπ' ἀφραδίῃσιν ἀεικέα ῥέξατ' ἄεθλον,
παρφασίην λάζεσθε θεογράπτων ἀπὸ βίβλων,
δυσπραγίης ἀφέτειραν ὑπὸ φρεσὶ κηδανοσῦντες,
ἣν τινα χριστὸς ἑοῖσιν ἐπεξιώσε μαθηταῖς,
ἥνικα σφέας ὤτρυνε μολεῖν ἀνὰ κυκλάδα γαίην,
φαιδρῦναι βρότεον γένος ἀρχεβίοισι ῥεέθροις,
ὄφρα χαρᾶς ἐπιβῶσιν ἀτέρμονος ἐντὸς ὀλύμπου,
πίστις ὅσοις ἄρρηκτος ὑπὸ πραπίδεσσι μελήσῃ.

Absolutionem quomodo Papa euerrerit & corruperit.

τοῦτον δὴ θησαυρὸν ἀριστοπόθητον ὁμίλου
σεμνοβίου κλέπτειν ὁρμήμασιν αἰσυλοτέχνοις
ἑρπυστὴς μενέαινε πολύστροφος ἄϊδος ἐσθλήν.
ὤτων δ' οὔτε θύρετρον ἐμῇ χαλάσαντες ἰωῇ
κέκλυτ' ἐμοῦ φθέγξαντος, ὅπως παγκλέπτορι θυμῷ
παππᾶς κληδοφόρον ἀθένος ἥρπασε θέσπιδι μάνδρης,
ὡς λύκος ἀρνοβόρος ἐνὶ πώεσιν ἄγρια θύων.

Claues à Christo traditę Ecclesiæ.

δισσὰς μὲν κληῗδας ἐπέτραπε μυστίδι νύμφῃ
χριστὸς ἄναξ, τὴν μὲν κακίης ἀφέτειραν ἁπάσης,
τὴν δὲ δέτειραν ἔειπεν ἀμαρτάδος ὀκρυοέσσης.
ἔνθα συνειδότι θάρσος ἀγηθεῖ λαρὸν ἐλέσθαι
πάρκειται, διὰ χριστὸν, ὅτι χραίσμημα κέχυσε.

καὶ

καὶ κακίης λύσιν εὗρε, καὶ ἐξ ἀΐδαο βερέθρων
φύγγανε. τὰς δὲ λύκος ψυχόκτονος Ἰταλιώνων
κιβδηλευσάμενος βασανίσμασι πικρομερίμνοις
θρασύσατο δυσγοερῶν μερόπων νόον, εἰ μὴ ἐνὶ πάντα
ἐξωμολογήσειν ὅτι πταίσματα δηλαδὴ λιγαίνειν
ἦν θέμις, οὐδ' ἀνομοῦντι βαλεῖν ὑπὸ βένθεα σιγῆς.
καίπερ ἀμαρτοσύνας φθισικήνορας ὅστις ἐνίαπτεν
ὅττι νέας χρέος ἔσκεν ἀνιχνεῦσαι καὶ ἐνίσπειν.
ἐν βασάνοις δ' ἱερῆες ἐριζήλοισι μαινοιναῖς
μαχλοσύνης μάστευον ὀνείδεα μοιχιδίης τε
πλέμματα συζυγίης. αὐτοὺς δ' ᾔσχυνε μάλιστα
μαργοσύνῃ πλήθουσα συνείδεσις ἀλγεσιδώρων,
πολλάκις οἵ τε δίκην καὶ ἐς ὕστερον ἐξαπέτισαν.
ἀνδρὶ παλιμφρονέοντι δ' ἐγερσιβίου μετανοίης
θῆκε τύπον μοναχός τις, ὅς οἱ καταθύμιος ἔσκεν.
ἦν δὲ πολύτροπον ἄχθος ἐπήγαγεν ἀμπλακιάων,
τοῦτο λύειν δ' οὐκ οἶδε καὶ αἰολόμητις ἐπόπτης,
ποιῆσαι τόδ' ἔωθεν ἐπίσκοπος ὑψικρατὴς φῶς.
ἦν δὲ πλοκὴν κἀκεῖνος ἀνὴρ οὐκ εἶχε λιάζειν,
παππᾶς πανδαμάτωρ τά με μὲν θρασυμέμνονι βουλῇ.
νηψαμένους δ' ἐκέλευσεν ἀνήριθμον λιτανειῶν
πατρὶ θεῷ μαίῃ τε θεοῦ στίχας ἐκψιθυρίζειν,
ἢ μίσθωσι θεὸν καὶ ὁδοιπορίῃσιν ἀρέσσαι,
ἠὲ δόμεν χρυσοῖο καὶ ἀργυρίοιο τάλαντα
μυστιπόλοις χλιδανοῖσιν, ἀεργέα γαστέρα βόσκειν.
εἰ δέ τις ἔσκε φόνῳ πεπαλαγμένος, εἶχεν ἀνάγκην,
λαμπάδα χερσὶ φέρειν ῥοπάλῳ καὶ ἄμαλλον ἀείρειν
ἀνθρώπων προπάροιθεν ὁμιλαδὸν εἰς ἓν ἰόντων.
ἦχι πολυσμώδιγξι δαμεὶς πληγῇσιν ἱμάσθλης

Confessi
Papistica,
Tortura
scientiar

Peccata n
gratis re-
mitteban
tur, sed in
ponebatu
satisfacti
alijs alia,
ratione de
licti.

Satisfacti
in quib. re
bus consti
terit.

Satisfacti
Homicida
rum.

rma ab- utionis, a absol- bantur inorosi.

λώβης οὖγε λύσιν μονάχου τοίσιν ἐπαρᾶς:
θάρσει ἐπεὶ χριστοῖο παθήματα παρθενοκούρου,
καὶ μεσιτευούσης μειλίγματα χριστοτεκούσης,
πάντων τ' εὐσεβέων μονάχων καὶ ὁμόζυγες αὐγαὶ
σεῖο ταλαφροσύνης παυστήριον ἄλκαρ ἀνίης
εἰσὶ τεῆς, τὰ θανόντι παρηγόρος ἐλπὶς ἔσονται.

rnifici- conscie͂ rum sæ- ssima.

οὕτω μὲν μετανοιανόων πέλε δηθὰ κολαστής,
ὃς πυκνοὺς ἀΐδηνδε κατεπρήνιξεν ὁμίλους
ψυχάων, σατανᾶο γεγηθότος ἔξοχα θυμῷ
ποικίλλειν τόσσοισιν ἑὸν δόμον ἀμφιπόλοισι.

uci grati nt Deo p ce verita , pro de- lis tene is.

τίς ποτε τίς χάριν οἶδεν ὑπὸ φρεσὶ παμβασιλῆι
εἵνεκα τοσσατίης ἐλεητύος; ἥ περ ἀπ' ὄρφνης
ἡμέας ἦγε φόως δε καὶ ἄψ ἀνεσείρασε κείνων
ἐκ λαιμοῦ βροτόεντος, ἐπηβόλον ἀμφὶ ποδοῖιν
ἄμμι λόγου σφετέρου φαεσίνορα λαμπάδ' ἀνάψας.
ἡμῶν ἀξιότης ἀνεμώνιος, αὐτὰρ ἄνακτος
εἰς τέλος ἄχρι χάρις θεομνήμονας ὀρθοδικάντους
ἀνέρας ἀμφιέπει, καὶ ἀκαμπέα πίστιν ὀφέλλει.
ταῦτά νυ ῥίγιστα κρυοβρώτατά τ' ἐστὶν ἀκοῦσαι,
ἔμπης ὄλβιος ἄμμι παραίφασίς ἐστιν ἄπαυστος

Pars Ca- chismi, aptismus

βαπτισμοῦ ζαθέου λυσιπήμονος ἀμφὶ καθαρμῷ
ὃν δι' ἐν χριστῷ πεφυτευμένοι σὺνομόωμεν
λύθρου φοινικόεσι περιρρανθέντες ἐέρσαις
ὅ,ττι βαρυτρώτων ἀνεκήκιεν αὐτοῦ ἀπ' ὤλων.

erba insti tionis Ba tismi.

βαπτισμὸν δ' ἄρα χριστὸς ἑοῖς ἐπέτελλε μαθηταῖς,
τοῖσιν ὁππότε πᾶσιν ἀνήρυγε θέσκελον ὀμφήν:
δεῦτ' ἴτε ποικιλόχωρον ἀνὰ πλάκα πᾶσαν ἀρούρης
ὀρθὰ διδασκῆσαι μεροπήια πάντα γένεθλα,

καὶ νίψαι ῥανίδεσσιν ἁμαρτονόοιο λοετροῦ,
αὐτοτελεσσιγόνου γεννήτορος ἠδὲ καὶ υἱοῦ
εἰς ὄνομα πνοιῆς τε θεαέος. ὃς δὲ κεν ἀνὴρ
ὀρθὴν πίστιν ἔχων φαεσκύδορος ἀμφὶ ῥεέθρῳ
βαπτισμοῦ δέξαιτο νέην βαλβῖδα γενέθλης,
ζωῆς ὄψεται οὗτος ἀείβιον ἄφθιτον αἴγλην.
ὃς δ᾽ ἑτερόφρονα λύσσαν ἔχων λιπόπιστις ἐτύχθη,
βλήσεται εἰς ἀχέροντος ἀειφλεγέθοντα κάμινον.
ἧχι μιν ἀσβέστοιο φλόγες σμύξουσι γεέννης.
* τῶνδε βραχυφθόγγων ἐπέων νόον ἠβάδι μολπῇ
δῖος ἀγασσιθέων ἀνδρῶν χορὸς ὧδε λιγαίνει:

* Sequitur ode G[…] manica, Christ vnser HERR zum J[…] dan kam, q̄ est expli catio verb[…] rum bapt[…] smatis, continet […] ptē mēbr[…]

Χριστὸς ἄναξ ἐπέβησεν ἰορδανάο ῥέεθρον I.
πατρὸς ὑπαὶ πομπῇ παντέκτονος, ἔνθα μολόντα
θεῖος ἰωάννης θείῃ βάπτιζεν ἐέρσῃ,
ὄφρα γέρας τελέσειε, τό οἱ προὔκειτο τελεῖσθαι,
σμηκτικάκου τ᾽ ἀσάμινθον ὅπως κρηνώσειε λοετροῦ
ἡμῖν, καί προχοῇσιν ἀμειδέα πότμον ἀπάγξῃ
αἱμαλέῃς αὐτοῖο κατειβομένῃσιν ἀπ᾽ οὐλέων,
καινοτύπου βιότοιο τ᾽ ἀναστήσειε γενέθλην.
τοὔνεκά μοι ξυνίετε τίκτεν παντοῦχος ἀνάκτωρ II.
βάπτισιν αὐδάσσειε καὶ ὅ,ττι κεν ἀνδρ᾽ ἐπάρουρον
πιστεύειν ἐπέοικεν, ὅπως μύσος αἱρεσιάων
ψευδομιγέων προφύγῃσι. θεοῦ δ᾽ ἐρίτιμον ἐέλδωρ
τοῦτο πέλει, βαπτισμός ἐν ὕδασιν ὄφρα γένηται,
οὐ μόνον εἰν ἀπύροισι καὶ ἀπνεύστοισι ῥεέθροις,
ἀλλὰ κεραοσιπνόοισιν ἐν ὕδασι μιξιλόγοις τε.
βαπτιστὴς γὰρ ὅρωρε θεόπνοος αὐτὸς ἀήτης.
ὅ,ττι προδηλολάτοισι λύποις λυγυροῖσι τ᾽ ἰϋγμοῖς III.

ἡμῖν αὐτὸς ἔδειξεν ἰορδάνοιο παρ᾽ ὄχθαις,
ἦχι διαπρύσιος γενέτου κελάδησεν ἰωὴ
ὡς φαμένου· γλυκύφιλτρος ἐμοὶ γόνος οὗτος ἐτύχθη,
ἔξοχον οὗτος ἐμῷ κεχαρισμένος ἔπλετο θυμῷ,
τόνδ᾽ ὑμῖν προτίθημι διδάσκαλον, ὄφρα πρόπαντες
φθεγξαμένου δέξησθε λόγους θεοχανδέϊ βουλῇ,
νου θεσίης τε πίθησθε βιαρκέα μυθολογοῦντος.
IIII. αὐτόθι καὶ γενέταο παρίσταται ὑψίτονος παῖς
ἕσσας ἀμβροσίῃ βροτοειδέα σύζυγα μορφήν.
ἀργυφέῃ δ᾽ ἐΐκτο πελειάδι θεῖος ἀήτης,
ἀΐσσων πτερύγεσσιν ἀπ᾽ οὐλύμποιο καρήνων,
μήποτε διστάζωμεν, ὅταν δέμας ἄμμι καθαίρει
ἁγνολόετρον ὕδωρ. τότε γὰρ βαπτῆρες ἔασι
τρισσὰ θεοῖο πρόσωπα μονοπρέμνοιο βραβεύτεω,
ἄμμιν ὁμοῦ δ᾽ ἐθέλουσιν ἐπὶ χθονὶ δώματα ναίειν.
V. ἠδείῃ δ᾽ ἑτάρους θεόπαις ὤτρυνεν ἰωῇ·
ἔξιτε καρπαλίμως ἀδαήμονα πάντα διδάσκειν,
ὅττι ἀλιτημοσύνῃσιν ἀπώλετο κόσμος ἀπείρων,
ὄφρα παλιμφρονέων ὁσίῃ μεμελημένος εἴη.
ὅστις ὑπὸ στήθεσσι φέρῃ πειθήνιον ἦθος
χυτλωθεὶς λιβάδεσσι θεορρύτοιο λοετροῦ,
δῶρα παλιμπλασίης μεθέπῃ, καὶ κληρονομήσας
αὐλὴν αἰθερίην παναγήραος ἔσσεται ἐσθλήν.
VI. ὃς δ᾽ ἀεσιφροσύνῃ τόσσης ὑπερόπτεται αἴγλης,
εἴξας δυσνομίῃσιν ἀνήκεστον οἶτον ἐπέσπε,
νερτερίην ἐς ἄβυσσον ἰὼν φλεγεθοντίδος ἕδρης.
οὐ νόμος οὐ δεκάται μὶν ἢ ἔργματα καλὰ σαώσει.
πᾶς πόνος αὐτομάτης ἀποφώλιός ἐστι μενοινῆς.

τὸν γὰρ ἀμαλδῦναι κακίης πρωτόσπορος ἰὸς,
ᾧ τινι συμπεφυῶτα βροτὸν διεώσατο γαστὴρ
μητρῴη τῶδ' οὔτι πέλει σθένος αὐτῷ ἀρήγειν.
ὀφθαλμῶν μὲν ἀνὴρ ἐχεφεγγέα κανθὸν ἑλίσσων — VII.
νάματος ἐκχυμένοιο μόνον κελάρισμα δοκεύει.
πίστις δ' ἠνοίης ὑποθημοσύνῃσι θεείης
αἵματος ἔνσοον οἶδε θεοστάκτοιο νοῆσαι
μῆχαρ, πορφύρεον δ' οἱ ἐείδεται οἷδμα τετύχθαι
χριστοχύτου λύθροιο, βεβαμμένον ἔνχροϊ πηγῇ
ἕλκεσιν ἀρχαίοις πρωτοβλάστοιο τοκῆος,
ἀμείων τ' αὐτῶν ὅ,τ' ἐπ' ἤπια φάρμακα πάσσει.
a τοῦτο δὲ σμηξιρύπου βαπτίσματος ἔνθεον ὕδωρ
δαίμων μυελότεχνος ἔτλης ἀμάρησι μιαίνειν.
παντοίῃ μέμονε φραδίῃ, καὶ ἄλγεα κείνων
οὐ δεδαὼς λουτροῖσι θεοκράντοισιν ὀπηδεῖν.
κέκλυτε καὶ ξύμπαντα νοήσετε παῖδες ἄριστοι.
b πᾶν μέρος ἀμφιμέλαινε θεογράπτων διδαχάων
παππᾶς πλὴν ἁγίου βαπτίσματος, ὅ,ττιπερ οἶον
ἀρτιτόκοις βρεφέεσσιν ἀκιβδήλωτον ἔμιμνε.
πρῶτον μὲν δεκάμυθον ἀθύρματα θῆκεν ἐφετμὴν,
ἐμπορίης με θέπουσαν ὅλως μίμημα. φάος δὲ
πειθοῦς οἰοσόοιο μετὰ ζόφον ἔσχατον ἔπτη.
πᾶσα δ' ἐπευχωλὴ δίχα πίστιος ἐστὶν ἁμαρτὰς,
εἰ καὶ ἀειφλοίσβῳ τις ἐπαυδάσειε προσευχῇ
πιστοχαρῆ βασιλῆα πανόψιον. ἐν δὲ θεείης
εἰλαπίνης ἀπόκομμα πάλαι νήψασιν ἐρέπτειν
ἐκδέδοται, λοιπὸν δ' ὑποκλέπτεται. κληδονόμους δ' ἐς
ψυχάων βαρύποινος ἔτευ κλόνος, ὅττι θεόφρων

a Baptismus Papisticus, & quomodo Papa Baptismū deformârit.

b Papa corrupit & falsificauit singula capita doctrinæ Christianæ & Catecheticæ.

Decalogus siue Lex.

Fides in Christum.

Oratio.

Cœna Domini.

Claues.

λὰξ στυφελίζετο μῦθος, ἐπιχθονίαι δὲ πρὸς ἄστρα
τάξεις ὑψώθησαν ὑπερφιάλῳ τινὶ θεσμῷ.
a ἀλλ᾽ εἰ καὶ βαπτισμοῦ ἔην ἀθόλωτα ῥέεθρα,
ἔμπαγ᾽ ἀκούσατε παῖδες, ὅσοις καὶ ταῦτα μέμικται
b φαντασίαις. πρῶτα γὰρ λαμπέσκετο κηρομένη φλόξ,
ἧττον ὅτ᾽ οὐλύμποιο κατηκόντιζεν ἐπαυγὴν
ἠλέκτωρ πέμπων περ ὑφείροχον ἄσχετον αἴγλην.
c εἰς στόμα δὲ βρεφέων ἅλα μυστικὸν ἔμβαλεν ἱερεύς,
ψυχῇ νεκταρόφυρτον ἀδευκέα γεῦσιν ὀρίνειν,
ζωῆς ἀενάου πρωτογνώστιδα τέρψιν ἔχουσαν.
d εἶτα δὲ ἀποπτύσας λευκόχροον ἀφρὸν ὀδόντων,
πτύσματι πηλὸν ἔτευξε μετὰ στροφάλιγγι κονίης,
δίπτυχα δὲ οὔατα παιδὸς ὁμοῦ καὶ δίζυγας ὤμους
e μωροσόφως ἤλειψε, καὶ αὐτίκα θερμὸν ἰάλλων
ἆσθμα, πότι πνείων τε τὸ παιδίον, αἶψα καλύπτρην
ἠδ᾽ ἑανὸν πάλλευκον (ὅσοις σημήϊα σταυροῦ
πρόσθεν ἐπιγράψασκε μελάγχροα θηλυτέρη χείρ)
βαπτιστὴς ἐπέβαλλε. καὶ εἰ μὴ ἕκαστον ἐκείνων
ἀρητὴρ ἐτέλεσσε λαθιφροσύνῃσι πεδηθείς,
οὐκ ἔμεναι βαπτισμὸς ἐείδετο σεμνολοετρός.
f ἄραγε βαπτισμὸς χριστοῦ ἁγές ἐστι ῥέεθρον,
γηθοσύνης πλήμμυρις εὔφρονος, οἷάπερ ἡμῖν
γραπταῖς ἐν σελίδεσσι λέγει θεός, ἐνθάδ᾽ ὃς αὐτὸς
βαπτιστὴς πέλεται, καὶ ὅπῃ φίλον υἷα θεοῖο
ἡμεῖς ἀμφεσάμεσθα γλυκυζήλῳ τινὶ θεσμῷ.
g ἔμπαγ᾽ ἀτιμελίῃσι τόσαις λοεσίμβροτον ὕδωρ
νήπιον ἐστυφέλιξαν ὅπως μονάχοιο κόκολλον
ἀμφιβαλεῖν ὤμοισιν, ἔμεν δοκέουσιν ἄμεινον,

ἠὲ πα-

a Tametsi Baptismi verba integrè retinuit, tamē deformauit Baptismū cæremoniis multis superstitiosis & impijs.
b Cereus incēditur.
c Sal consecratum inditur in os infantis.
d Aures, humeri Infantis illinuntur luto macerato saliua.
e Afflatur infans.
f Baptismi verus vsus.
g Indui cucullo monastico, parem vim habuit cū Baptismate.

ἠὲ παλιντοκίης ὁσίῳ χυτλούμενον εἶναι
χεύματι, καὶ χριστὸν μυχάτης πραπίδεσσι κομίζειν·
ἤμασι δ' ἱεροδρόμοις ὅτε πάσχατος ἔτρεχον ὧραι,
ἢ πεντηκοστῆς ὅτε θέσφατος ἔσκεν ἑορτὴ,
δὴ τότε λαμπάδ' ἔχων φλογερὴν χερὶ μυστιπόλος φὼς
βαπτιστήριον ὦκα λιθόξοον ἀμφιβέβηκε,
οὕτω ἐελδόμενος βαπτίσματι κάρτος ὀπάσσαι.
πολλάκι καὶ βρεφέων ἀπεχάζετο θυμὸς ἄκικυς,
ἄμμορα βαπτισμοῖό τ' ἐς ὕδερον αὖθις ἐπιπλον,
πρὶν δυσπαλίσματα πάντα καὶ ἐς τέλος ἦγε πάρεργα
σχέτλιος. ἐκ ταύτης δ' ἐριπήμονος ἡμέες ἄτης
οὐκ ἀθεεὶ προφυγόντες ἐλσύθροον ἵκομεν ἀγωγήν.
εὐσεβίης ὦ χριστὲ πυκνὰς ὄτλιγγας ἰάλλοις
εἰς φρένας ἡμείων, ἵνα σοι χάριν αἰὲν ἔχοντες
καί σοι ὁμοζυγέες βιότου διάγωμεν ἀλήτου
πάνσοον ἐν πίστει καὶ ἀλυπείῃσι δίαιταν.
ἔστι γε καὶ τρίτον ἄλλο κακῶν ἐπίληθον ἁπάντων
νήχολον ἀναύτητον, ὅπῃ θεοσίμβροτος ἑστὴν
ἄμμιν ἐπαρτίζει σφετέρον δέμας εἰλαπινάζειν
ἄρτου λεπταλέοις ἐνὶ πλάσμασιν, αἷμα τε θεῖον
ἄμμι πιεῖν ἐκέρασσε, τὸ δὴ σφρηγισμὸς ἐτύχθη
φίλτρων θεσπεσίων πασῶν καὶ ὑποσχεσιάων,
ἃς ἱερόγλυφος ὅσα βίβλοις ζαθέῃσι προδηλοῖ,
ἢ θεΐκῆς θαλίης τοίως πέρι μυθολογεῦσι:
ἔννυχος ἡμείων σωτήριος ἀρχὸς ἰησοῦς,
εὖδας ὡς μὶν ἔμελλεν ἰουδαίοις παραδώσειν,
ἄρτον ἑλὼν χάριν εἶπεν ἀειμεδέον τι τοκῆϊ,
κλασσάμενος δ' ἑτάροισιν ὁμωροφίοισιν ἔνειμε

Cõsecratio Baptismatis, quę fiebat festo Paschatis, aut Pentechostes.

Apostrophe ad Christũ, per quem erepti sumus à Lerna illa idolomanias Papisticæ.

Sexta pars Catechismi: Cœna Domini.

Verba institutionis Cœnæ Domini.

καὶ φάτο· λήψατε τοῦτον ἐΰτροφον ἄρτον ἔδοντες.
σῶμα γάρ ἐστιν ἐμεῖο, τόπερ κρυφίῳ τινὶ θεσμῷ
εἵνεκεν ὑμείων ὑποδύσεται αἰπὺν ὄλεθρον,
μνημοσύνην κοσμοῦντες ἐμοῦ τόδε δεῖπνον ἔδεσθε.

a Tres odę Germanicę quæ canuntur statis tẽporibus ab Ecclesia, quibus exponuntur & illustranturverba institutionis cœnæ Domini.

καὶ πάλιν ἔλλαβε χερσὶ ποτήριον ἔμπλεον οἴνου,
δείπνου ληγομένοιο, χάριν ἢ τοῖσι τιταίνων,
ἀγχιθέοισι κύπελλον ἑοῖς ἐπέδωκε μαθηταῖς,
καὶ φάτο· δέξατε τοῦτο, πιεῖν μελιηδέος οἴνου
ἑξείης ἅμα πάντες, ἐπεὶ δέπας ἔπλετο τοῦτο
ἀντίθετος προτέρης χάριτος χάρις. ὁπλοτέρη τε
συνθεσίη προχοῇσιν ἐμοῦ λύθροιο ῥέουσα,
ὅππος ὑπὲρ ὑμῶν κελαρίζεται αὐτίκ' ἔραζε

b Prima ode, quæ incipit: Jesus Christus vnser Heylãdt/ der von vns den Gottes zorn wãdt ꝛc. & continet decem mẽbra.

εἰς λύσιν ὑμετέρων ἀφετήριον ἀμπλακιάων.
τοῦτό μοι ἐντελέσοιτε καὶ ὁσσάκις ἐστὲ καμόντες,
πείσιος ἡμετέρης καὶ ἐμοῦ μνήσασθε θανόντος.
a αὐτὰρ ἐπεὶ χάριτος κείνην κατὰ δαῖτα θεείης
ἡμῖν δαινυμένοισιν ὀρέγνυται ἄσπετος ὄλβος,
τοὔνεκα τόσσα βροτῶν κειμήλια, τόσσα θεοῖο
δῶρα θεόκλητος κλισίη τελοσῇσιν ἀοιδαῖς
ἐμφαίνει, προάτη τοίοις ῥυθμοῖσι βαδίζει:

b Χριστὸς ἐπιχθονίων ὁ μέγας σβεστὴρ ὀδυνάων
ὅς ποτε θηλύνεσκε πατρὸς ποινήτατον ὀργήν,
δριμείης αὐτοῦ διὰ πείσιος ἐμπεδοποίου
ἀΐδιος ἐξεσάωσε παλαιφθιμένων γένος ἀνδρῶν.

II.

τῆς δ' εὐεργεσίης ἵνα μὴ λησώμεθ', ἔρεπτειν
σφὸν δέμας ἄμμιν ἔδωκε σμικρῷ κεκρυμμένον ἄρτῳ.
ἔντ' οἴνου σταγόνεσσιν ἀγάρροον αἷμα πρόχευεν
εἰς ποτὸν εἰς ἱλασιθέου μνημήιον αἴσης.

εἴ τις γοῦν ψαῦσαι κείνης ἐθέλῃσι τραπέζης, III.
σφὸν τεκμηράμενος πρὶν ὑπὸ φρεσὶ θυμὸν ἐπέλθῃ,
τῆς δὲ γὰρ εἰ ψαύσειεν ἀνάξιος ἄφρονι τόλμῃ,
σώφρονος ἀντὶ βίου λήψῃ τάχα γοῦσιν ὀλέθρου.
τοὔνεκεν αἶνον ἄειδε θεῷ πατρὶ πασιγενέθλῳ, IIII.
ὅττι τεὴν ψυχὴν τόσον ἤρκεσε παστάδι θείῃ.
καί τε τεῆς κακίης ὕπερ ἄφθιτον ὄρχαμον ἀνδρῶν
μουνογενῆ φίλον υἷα πόρεν τετράζυγι πότμῳ.
πείθεο καὶ δολιχόμητιν ἀναίνεο δύσφρονα βουλήν, V.
οὕνεκεν αὐτόθι παστὸς ὀρώρεται ἀδρανεόντων.
οἷσιν ἐνὶ φρεσὶ θυμὸς ὑπ' ἀμπλακίῃσι βαρύνθη,
οἷς καὶ ἀμηχανίῃσι κατεκλάσθη φίλον ἦτορ.
τόσσον δ' ἕρμα βίοιο, τόσην τ' ἐλεητὴν ἐν ἄτῃ VI.
δηξινόῳ, λύπης φλογίνοις βελέεσσι πυρωθείς,
εἴης κεν ποθέων, ὅτε δ' εὐδιόωσα πέλε φρήν,
νόσφιν ἐλινιόοις, ἵνα μὴ στοναχαῖσι παλαίῃς.
αὐτὸς ἄναξ ἐρόεντας ἐφ' οἷ ζώστρησε πενιχρούς, VII.
καὶ φάτο· δεῦτε φίλοι γλυκυήτορες, οἰκτροσυνάων
ἀμῶν ἐμπάζεσθε, θεουδείῃσι πιθόντες.
σῶος ἰατροσύνης οὐ δεύεται. ἣν δὲ μενοινᾷ
ἀλθεύειν ἰητρὸς ἀνὴρ ἀσκηθέα φῶτα,
ἀνθρώπων ἐπίχαρμα γενήσεται εἰσοροώντων.
εἰ δὲ σὺ σοιαυτῷ τί ποτ' ἔσθενες ἄλκαρ ἀνευρεῖν, VIII
τίπτε θανεῖν χρέος ἔσκε τεῶν ὕπερ ἀφροσυνάων
τόσσον ἐμὲ κρείοντα χθονὸς μεδέοντα καὶ ἄστρων.
οὐδέ κεν ἡμετέρης συνομέστιος ἔσσι τραπέζης,
ἣν σὺ ἐπ' αὐτούχοις ὁρμήμασιν ἐλπίδ' ἔθηκας.
ταῦτ' ἄνυ πιστεύων μυχάτῆς φρεσὶ καὶ προπιφαύσκων. IX.

ἀμφαδὸν ὅσσους ἔασι, καὶ ἔνθεος οὐρανίη δαὶς
ἔνδον ἀναψύξαιτο τεὸν νόον ἡδέϊ θεσμῷ.
τῆς δὲ καὶ εἰλαπίνης ἐριθηλέα καρπὸν ἀέξοις, X.
ἀμφαγαπασάμενος τὸν πλησίον, ὥσπερ ἐπαυρῇ
σῆς εὐεργεσίης, καθάπερ θεὸς ἠπιόβουλος
παντόεργῳ σὲ προσόντα φίλῳ πήχυνεν ἀγοστῷ.
* Δευτέρη ὧδε θεῷ λαλέει γλυκύϋμνος ἀοιδή:
αἰὲν ἐπουρανίης θαλίης πρόμος αἰνετός ἔστω,
ἡμέας ὃς σίτιοσεν ἑῆς σάρκεσσι λύθρῳ τε.
ὦ πάτερ σὺ μονέων βροτέους ἐλέησον ὀδυρμούς.
ὦ ἄνα χριστὲ τεοῦ διὰ σώματος ἀγνολοχεύτου,
ὅ, ττι τεῆς πέσε μητρὸς ἀνυμφεύτων ἀπὸ κόλπων,
καὶ διὰ θέσκελον αἷμα κακῶν ἀπορύεο πάντων
ἡμᾶς, καὶ κραδίῃ βροτέους ἐλέησον ὀδυρμούς.
ἆρα γενηρώθη τὸ δέμας σέθεν, ὄφρα δι᾽ αὐτὸ
ζωῆς κυδιάνειραν ἀτέρμονα θρύψιν ἔχωμεν·
ἡμῖν οὐ ῥέα πλοῦτον ὑπέρτερον ἐγγυαλίξαις,
ὅστις ἀναμνήσειε βροτῶν γενέος ὑψιμέδοντος.
ὦ ἄνα πηλογόνων πυκινοὺς ἐλέησον ὀδυρμούς.
στοργὴ ἀμετροπαθὴς σὲ τόσοις κέντησε βελέμνοις.
χριστὲ τέκος θαυμαστὸν ἀειγενέταο τοκῆος,
λύθρον ἵν᾽ ἐργάσαιτο τεόν ποτε θάμβος ἄαπτον
ἀμφὶ ἡμῖν πάσας δ᾽ ἡμέων λύσειεν ὀφειλάς,
μαλθάσσῃ τέ θεοῖο βαρυζηλήμονος ὀργήν·
ὦ ἄνα πηλογόνων πυκινοὺς ἐλέησον ὀδυρμούς,
σῇ τ᾽ ἐλεημοσύνῃ φρένας ἔνδοθεν ἀμφιπυκάζοις
στείχειν ὀρθὰ κέλευθα δι᾽ ὑέος εἰς γενετῆρα,
ξυνοὺς τ᾽ ἀλλήλοισιν ἐπὶ σπινθῆρας ἰάλλειν.

πίστιος ἠδ' ἀγάπης ἀψευδέος, ὡς τόδε δεῖπνον
μήτι που εἰς μύσος ἄμμι καὶ εἰς τί βδέλυγμα τραποῖτο.
ὦ ἄνα πηλογόνων πυκινοὺς ἐλέησον ὀδυρμούς.
οὐδέποτ' ἄμμε λίποι πνοιῆς χάρις ὑψιανείρης, VI.

*Tertia od de cœna D mini, qu incipit: Meine zung er kling vi frölich sing/ ec Habet autem sex membra.

ἄρκιον ὡς τρόπον ἄμμιν ἀριστονόμοιο βιώνης
παρβάλλῃ, θεόχαρτος ὅπως σέβῃ ἱερὸς ὅμιλος
ἐν χθονὶ περηΰγάλλιμον ἄγῃ βίον σώφρονι θυμῷ.
ὦ ἄνα πηλογόνων πυκινοὺς ἐλέησον ὀδυρμούς.
*ἡ δὲ τρίτη πάλιν ὧδε λιγύκτυπος ἴαχεν ᾠδή
ἡδὺ μέλος κλάγξειεν ἐμῆς κελαδήματα γλώττης,
σώματος ἀμφ' ὁσίοιο καὶ αἵματος, ὅ, ττί γε κόσμου
εἰς λύτρον λαπάρηφι χύδην εἴασε ποτ' οὖδας
εἰβέμεν ἁγνοτόκοιο πάϊς γενναῖος ἀνάσσης,
κοίρανος ἀνθρώπων τε καὶ ὄρχαμος οὐρανιώνων.
ὄφρα νυ παρθενικῆς ζαθέων ἀνεπήλατο κόλπων, II.
ἡμείων μέγα χάρμα, τριηκοσίων τ' ἐνιαυτῶν
κύκλα διεξέπλησεν ἐπὶ χθονὶ σπέρμα κεδάζων
πάντῃ ἐπαγγελίης μελιγηθέος, ἠχὶ θαμίζων
θαύματα πυκνὰ καμὼν τερατώδεϊ κάτθανε πότμῳ.
καὶ πυμάτην διὰ νύκτα γλαγότροφον ἀμνὸν ἐξέπτων III.
οἷσιν ἅμ' ἀμφιπόλοισι, νόμοιό τε θεσμὰ φυλάττων,
εἰς φορβὴν θεράπεσσιν ἑοῖς δαίνυσιν ἑαυτόν.
καὶ λόγος ἀνδρασίμικτος ἐῷ παμπρήκτορι μύθῳ IIII.
μυστίδα σάρκα τέλεσσεν ἀπὸ μελικλέος ἄρτου,
καὶ χύσιν ἀμπελόεσσαν ἐς αἵματος ἤλλαγε χεῦμα.
εἰ καὶ ταῦτα λογισμὸν ἀνιχνεύοντα λέληθεν,
μοῦνον ἐπισκίπτῃ νόος ἄσυλος ὑψιβοώνου
βάκτρῳ πιστ[illegible]ιώνης. τὸ γὰρ ἤρκεσεν ἔξοχα πᾶσιν.

V. τοὔνεκεν ὀτραλέως σέβας ἀρτύνωμεν ἅπαντες
τόσσῃ ξυνθεσίῃ, καὶ τέθμια συχνὰ παλαιῆς
πεῖρας ἔχῃ θεόφαντον. ἀμηχανίην ἢ λογισμοῦ
σώτρια στερρώσῃ πίστις πυκαμήδεϊ βουλῇ.

VI. ὕψιστον γενετῆρα καὶ υἱέα μουνογένεθλον
ποικιλότερψις ἔπαινος ἰδὲ κλέος ἀμφιπολεῦοι,
πνεύματί τ' ἐκπροθορόντι δυοῖν ἀπό τοῖνδε σέβασμα
καὶ μεγαλοπρεπὲς εὖχος ἀγάκλυτον ἐμμενὲς ἔστω.

Quomodo Sathan per Pontificios profanârit cœnam Domini.

οὐδὲ καὶ ἐς πυστὴρ ἐνέρων ταγὸς αὐτόθι βρίζων,
ἀλλὰ δόλοις μεθύων φενακίσμασιν αἰολοτέχνοις
δεῖπνον ἐκιβδήλευε θεομνήστοιο τραπέζης.
κέκλυτε καὶ ξύμπαντα νοήσετε παῖδες ἄριστοι,
ὁσσάκις εἰλαπίνης μιμνήσκομαι αἱματοσαρκοῦ,
ποῖον ἀκηκελίοις μὶν ὀνείδεσιν ὕβρισε παππᾶς.
ἐκ κραδίης μοὶ θυμὸς ἐπὶ πόδας αὔτικα πίπτει
κλῦσιν ὑπερθενέτου τρομέων σφόδρα παμβασιλῆος.

Vera causa institutionis cœnæ Domini.

ὄφρα μὲν αὐτοῦ πεῖσιν ἀειμνήστοισι μενοιναῖς
καὶ φρεσὶ σφαγίζωμεν, ἑὸν δέμας ἄμμι βιβρώσκειν
ἐν ψωμοῖς ἄρτοιο χαρίζεται, ἠδὲ καὶ αἷμα
σφωΐτερον νοτίδεσσιν ὑπαὶ λιπαρόχροος οἴνου
ἡμῖν διψαλέοισι διδοῖ χείλεσσιν ἀφύσσειν.

Ostia includebatur in domuncula lapidea. Eadē circumferebatur multa pompa & ceremonia, in mōstrantia aurea, vel argentea.

* παππᾶς δ' ἤνωγε χρυσήλατον ἀμφικομίζειν
οἰκίδιον λιβάνεσσι κεκασμένον εὐγενέεσσιν,
ὀπταλέου τῷ βωμὸν ἐνικλήϊσσεν ἀλοίρου,
καὶ δέμας αὐτότατον χριστοῦ τόδε ψευδολογεῦσι
ἔμμεναι, οὗ προπάροιθε πέλει χρεὼ χεῖρας ἀείρειν
πᾶσι βροτοῖς, ἀεσύδειν τε λιτάς, ὅτε τοῦτο κελεύει
βαστάζειν ἱερῆα περὶ χλοερειδέας ἀγρούς.

εἶτα δ' ἐς οἰκίσκην λιθίνην θεομαρπέα θέσθαι
τὴν λύσιν καὶ ἄλσυρον ἐπιφραδέως ἐπιτέλλει.
εἰ δ' ἤ τις ἰσχανάᾳ ζαθέου δείπνοιο πάσασθαι,
τούτῳ κλεπτάδη χειρὶ μόνον δέμας ἐγγυαλίζει.
οὐ γὰρ ἀναίματον ἔμμεν ἔφη ποτὲ σῶμα θέειον.
τοὔνεκα καὶ μόνιμον δαίτης μέρος εἰλαπιναστῆς
δηθὰ φαγεῖν προτίθησιν, ὅλην διάταξιν ἰησοῦ
τοῦτ' ὀνομαζόμενος. φιάλῃ δ' ἐνὶ πῶμα λυαίου
ἄκρατον ὑψώσας, οὐκ ἔλπεται αἴσολος ἔμπης
χριστοῦ ἀμωμήτοις ἐπιτάγμασιν ἀντιμαχίζειν.

Vnam speciem Sacramenti tantum porrigit Laicis.

καί τε φενὰξ πίσωσεν ἐῇ ψευδήμονι φωνῇ
ἄρτου ὅτι ψωμοὶ καὶ ἐξ εὐθαλέου χύσις οἴνου
εἰς φύσιν ἐασιθέου μεταμορφοῦνται ποτιβλέπτως
σώματος, οὔτε θρόος ἐπεβόμβεε θέσπιδος ὀμφῆς.

Transubstātiatio Papistica.

λυγρῆς μὲν γενεᾶσι βορὴν τρώγουσι, καὶ αἷμα
μυστιπόλοι πίνουσι θεόρροον, εἰδ' ἀμύητοι
μοῦνον ἐπαυρίσκουσί μιῆς ἐνὶ σώματι μοίρης.
οὐ γὰρ ὅλου πατοῦ μετέχειν τὶς ἐπάξιός ἐστιν,
πλὴν γενεῆς ὁσίοιο γραφημαθέων ἱερήων.
a οὐδὲν ἐκεῖ λέγεται περὶ πίστιος οἰοσόοιο.
πάντες τε γραφίδων σχεδὸν ὀκλάζονται ὀχῆες.
παντὶ γὰρ αἰθερόεσσαν ὑπίσχονται βασιλείην,
ὃς καὶ ἄπιστος ἔδεκτο φαγὼν θεόγευστον ἐδωδήν.
b οὔποτε βυκτάων δ' ἀνέμων ὁμόφοιτον ἀέλλαις
μιχθήτω καὶ ἄιστον ἔχῃ φάτιν αἶσχος ἄφαντον
τῆς σπονδῆς, ὅθι πατρὶ παλινσφάκτῳ τινὶ θεσμῷ
ἦμαρ ἐπ' ἦμαρ ἔγεντο θύος θεοσύμβροτος ἥρως,
ἀρχητὴς μεσίτης τελέθει πολυπαίπαλος ἀνδρῶν,

a Etiā sine fide accedentes, nihilominus placere Deo docuit ex opere saltem operato.

b Sacrificiū Missæ, vbi sacrificus quispiā offerēdo Deo Christum, mediator fit inter Deum & homines.

τῶν ὕπερ αὐχένα κυρτὸν ἐπ' οὔδεϊ δόχμιος ἕλκων
εὔχεται ἐνμενέειν σφι μέγαν θεὸν εἵνεκα ταύτης
λοιβῆς φαντασιεργοῦ. ἔπη προφέρονται ἢ κεῖνα
νηπιάχου σφισὶν αἰὲν ἀπέρρεεν ἀνθερεῶνος:
σοὶ πάτερ ἐναγέεσσιν ἀνάπτομεν ὄργια βωμοῖς.
σοὶ καὶ ἄλλην δίδομεν μηδὲν παρὰ σεῖο λάβοντες.
ἢ ῥάνυ σεμνοπόνων καμάτων πλήθουσιν ἀριθμῷ.
ὧν αὐτῶν λαοῖ ὅτ' ἀΐδροθεν μετ' ὄνειαρ,
καὶ ψυχῶν μετ' ὄνησιν, ὅσας περισμοῖσι καθαίρει
δυσβέστοις ὑπὸ γαῖαν ἀμείλιχος ἀκάματος φλόξ.
ἑπτὰ δ' ἐπιχθονίοις μυστήρια θέσκελ' ἐδείχθη
δεῖπνον μὲν θεόθοινον ὕδωρ, χρίσις ἠδὲ μύησις.
δεσμά τε συζυγίης, πίστωσις, καὶ μετάνοια.
τῶν ἔνια προφανῆ κακομήδεϊ δαίμονος οἴστρῳ.
ἶσα γε καὶ ψεύδεσσι θεοῦ διατάγματ' ἔχουσαι
ἀντὶ ἐπιστοβέουσι βαθυπλανέων στίχες ἀνδρῶν.
οἳ ζαμενῶς ἐνέπουσιν ἀτάρβεϊ δύσφρον τόλμῃ.
ὡς οὐ σωματικῶς χριστοῦ δέμας ἠδὲ καὶ αἷμα
μυησιθέῳ θαλίῃ θοινώμεθα, μηδὲ δύνασθαι
σῶμα θεοῖο μιῇ στιγμῇ χρόνου ἄμμιγα χώροις
ἔμμεναι ἐν πολλοῖς, κενεῇ θρυλέουσιν ἰωῇ.
a σοὶ πάτερ εὐχάριν αἶνον ἀείδομεν, οὕνεκ' ἀλάστου
ταύτης ἐκ κακίης κ' ἀχροντίδος ἐντὸς ὁμίχλης
ἵλαος εἰς προτέρην ἀνεσείρασας ἡμέας αἴγλην.
ταῦτα μὲν ἀνδρομέων ἐπιτίμια δυσφροσυνάων
b θρησκείης τε τόσον σκότος οὐλοὸν, ὅ, τι παρόσπερ
λευγαλέης προφύγεσσι μελήνατο κόσμον ἀλήτην,
ὤφελεν ἡμετέρης κραδίης ἀνὰ θυμὸν ἐγείρειν,

ὦ φίλοι

Verba, quibus vtebantur missificatores inter missificandum.

Abūdabāt supererogationis operib. pro viuis & defunctis.

Septem Sacramenta Papistica.

Sacramentariorum error.

a Apostrophe ad Deū patrem, cui debemus liberationē ab idololatria Pontificia.

b Tenebræ superiorū tēporū, de quibus debeant moneri adolescentes.

ὦ φίλοι ἤ κεν ταὶ Χριστοῦ λάχος οἷσι μέμηλε,
ὥσπερ ἀναστίλβουσα καὶ ἀμφαδὰ λαμπετόωντα
ἀγγελίης σπινθῆρα μελίφρονος ἠδὲ καὶ ἄλλης
φέγγος ἐπιστήμης ἀγανῇ δέξησθε μενοινῇ,
πολλὸν ἀγασσάμενοι μαλακόφρονα μῆτιν ἄνακτος,
οὕνεκεν ὑστατίης γενεῆς ὑπὸ πεῖρας, ἄτρεστον
πάντας ὑπερβρίθοντά τ᾽ ἀριστοπόνοις ἀρετῇσι
καὶ πίστει Λούθηρον ἀλίγκιον ἀθανάτοισι Lutherus.
στῆσε μέσον θνητοῖσι σὺν ἠιθεοῖσιν ἑταίροις,
κρυπτομένην ψεύδεσσιν ἀναλαμπρυῶσαι ἰωὴν
θεσπεσίην. παππῷ τε θεήμαχον οἶστρον ἀμέρδειν,
μήπου ἀτιμίῃ θεοθαρσέος ἡγεμονείης II.
σκῆπτρον ἀφ᾽ ἡμετέρης χθονὸς ἐκπρύσαντες ἴδητε
παρθρώσκειν ἑτέρωσε πρὸς ἄλλων ἕδρανον ἐθνέων,
ὅσσα θεουδείης ζυγὸν οὔ ἴσασι τάλασσαι,
καὶ πάλιν ἀγλαόπυρσος ἁγνῶν λαμπτὴρ ἐνοπάων
εἰς χάος αἰχρονύκτον ὀλισθήσειε, καὶ ἡμεῖς III.
δύσωμεν πανόλεθρον ἄχος, κρυόεσσαν ὁμίχλην
παππώων λογίων καὶ ἑκούσιον ἀμφαγαπῶντες
δύσμορον ἀτμενίην, τῆς κεν ζυγόδεσμον ἀπ᾽ ὤμων
σπουδῇ προὐβαλόμεσθα θεοῦ βασιλῆος ἀρωγῇ.
καὶ μαλερῇσι λιταῖς μειλίξατε θυμὸν ἄνακτος, Catechismi doctrina amissa, quanta incommoda & mala secum afferat.
ὕμμιν ὅπως σώζῃσι κατηχισμοῖο θέμεθλα
εἰς τέλος ἀστυφέλικτα μένειν, τῶν γάρ τε πεσόντων
εἶλαρ ἅπαν καὶ ῥῦμα γραφῆς, κρηπῖδες ἅπασαι
ποίμνης κλησιθέου ταχέως κεκάδοιντο κονίῃ,
τῶν δ᾽ ἄρα σκεπομένων ἡμεῖς ἀλαώπιδι γλήνῃ
οὐ θεὸν οὐ ῥυτῆρα βροτῶν ὁρόωμεν, ἀνάγκαις

a Extra verbum, extra ecclesiam nulla Salus

b Ode Germanica, q̄ incipit: **Erhalt vns Herre bey deinem wort/ꝛc.** sæpe Sathanæ in faciē impingenda est.

τηξινόοισι δεθόντες, ἀπειθέες, οὐδὲν ἐόντες,
οὕνεκεν οὐδὲν ὄνειαρ ἔφυ δίχα φοιβάδος ὀμφῆς,
οὐ γαίος, οὐδὲ βίος θεοθρέμμονος ἔκτοθι μάνδρης.
a τοὔνεκα πολλάκι τοῦτο μελύδριον ἠθάδι μολπῇ
βυσσόθεν ἐκ κραδίης ποτὶ τὸν θρόνον ὑψιμέδοντος
b στέλλοντες, στυγίῳ κακοδαίμονι θούριδα φωνὴν
θαρσαλέως εἰς ὦπα κατεγχρίμψοιτε βοῶντες:
ἄμμε πάτερ ζαθέοις ἐπιτάγμασιν ἀμφιπολεύοις
πάντοτε καὶ τυρκοῦ παππᾶότε λαοδαΐκτου
ψυχολέτην τε φόνον φριξεγχέα τ' οἶστρον ἀμέρδοις,
ὥστε κλυτῆς μαιμᾶτον ἀποστυφελιζέμεν ἕδρης,
ὃν σύ περ αἰώνων ἐλοχεύσαο παῖδα πρὸ πάντων.

II. σφωϊτέρου δ' ὦ χριστὲ βραχίονος ἰσχὺν ἄαπτον
ἐκπροφέροις, ὃς ἔφυς πάντων βασιλεὺς βασιλήων.
χεῖρα τεῆς δ' ὑπέρισχε κατηφέος ἔμπεδα ποίμνης,
ὄφρα σ' ἀλωφήτοισι περιστέλλῃσιν ἐπαίνοις.

III. ὦ πνοιῆς ὑπάτης νοερὸν σέλας, εὐφροσύνης φῶς,
εἰς ἓν ἀρηράμενον δοίης ἕνα θυμὸν ἔχοντας
χριστιάδος διάγειν. ἐνὶ ῥηξιβίοισι δ' ἀέθλοις
ἄμμι παρήγορός ἐσσο, καὶ ἐκ θανάτοιο πυλάων
ζωῆς κυδιάνειραν ἄγοις ποτὶ πανδόκον αὐλήν.

IIII. ὦ τριὰς ἱλήκοις, εἰρήνης ὄλβιο μοίρου
δὸς μεθέπειν ἡμᾶς πρεσβήϊον, οὐ γὰρ ἐτύχθη
ἄλλος ὃς ἄμμ' ἐνὶ παντὶ προασπίζῃσι κυδοιμῷ,
πλὴν μούνοιο σέθεν πανσυχέα σκῆπτρα φέροντος.

Gladius Spiritus verbū Dei:

ὡς οὐ νικήσαιτε μάχῃ ποτὲ τεύχεσιν ἄλλοις,
ἢ κρατεροπλείῃ πίσυνοι θεοηχέος αὐδῆς,
ἥτις πιστονόοις κυνέη καὶ ἀσπὶς ὄρωρε,

καὶ

καὶ πλέον ἄλκιμός ἐστιν ὅτε ῥυθμοῖσιν ἀοιδῆς
σύγκροτος ἀντιάσασα λιγύκτυπον ἦχον ἰάλλῃ.

ΤΕΛΟΣ.

FRANCOFVRTI AD MOENVM,
Apud Nicolaum Bassæum.
*ANNO M. D. LXXIIII.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0102-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0103-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0104-9

153759

AB: 153759

ULB Halle 3
003 873 900

Sa

Hc 1056

VD17

236.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0105-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0106-1

# ΚΑΤΗΧΗΤΙΚΑ, ΣΥΝ ΑΝΤΙΘΕ-ΣΕΙ ΤΩΝ ΕΝΑΝ-ΤΙΟΥΜΕΝΩΝ.

PIETATIS PVERILIS, ET DO-CTRINAE CATECHETICAE EXPOSITIO, *cum Antithesi contrariæ, commemoratione videlicet, ac descriptione Idolomanias Pontificiæ vniuersæ, singulis Catecheticæ doctrinæ capitibus oppositæ, conscripta & exposita Græco Heroico, à Matthæo Gotho Elrichensi.*

15  74.



FRANCOFVRTI,

*Ex Officina Typographica Nicolai Bassæi.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-139360-p0107-6